eul_wid: mlw-af

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Scholia-Lysistrata

*Σχόλια εἰς Λυσιστράτην*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

arg lys t ΥΠΟΘΕΣΕΙΣ Λυσιστράτης τις Ἀθήνησι τῶν πολιτίδων καὶ τῶν Πελοποννησίων, ἔτι δὲ καὶ Βοιωτίων γυναικῶν σύλλογον ἐποιήσατο, διαλλαγὰς μηχανωμένη τοῖς Ἕλλησιν· ὀμόσαι δὲ ἀναπείσασα μὴ πρότερον τοῖς ἀνδράσι συνουσιάζειν, πρὶν ἂν πολεμοῦντες ἀλλήλοις παύσωνται, τὰς μὲν ἐξωπίους ἐμπριλὰς καταλιποῦσα ὀπίσω, αὐτὴ δὲ πρὸς τὰς κατειληφυίας τὴν ἀκρόπολιν μετὰ τῶν οἰκείων ἀπαντᾷ.

arg lys 1 συνδραμόντων δὲ πρεσβυτῶν πολιτῶν μετὰ λαμπάδων καὶ πυρὸς πρὸς τὰς πύλας, τὴν ἀναστολὴν ποιεῖται ἐξελθοῦσα, καὶ προβούλου τινὸς μετ᾽ ὀλίγον παραβιάσασθαι μετὰ τοξοτῶν ὁρμήσαντος, εἶτα δὲ ἀποκρουσθέντος καὶ διαπυνθανομένου τί βουλόμεναι ταῦτα δεδράκασι, τὸ μὲν πρῶτόν φασιν ὅτι ἐγκρατεῖς γενόμεναι τοῦ ἀργυρίου μὴ ἐπιτρέψουσι τοῖς ἀνδράσιν ἀπὸ τούτου πολεμεῖν, δεύτερον δὲ ὅτι πολὺ ἄμεινον ταμιεύσονται καὶ τὸν παρόντα πόλεμον τάχιστα καταπαύσουσιν. οὗτος μὲν οὖν καταπλαγεὶς τοῦ θράσους ὡς τοὺς συμπροβούλους οἴχεται, ταῦτα μὴ παύσας· οἱ δὲ γέροντες ὑπομένοντες ταῖς γυναιξὶ λοιδοροῦνται. μετὰ ταῦτα αὐτῶν τινες αὐτομολοῦσαι μάλα γελοίως δι᾽ ἀκρασίαν ὡς τοὺς ἄνδρας ἁλίσκονται· ἐγκαρτεροῦσι δὲ Λυσιστράτης ἱκετευούσης. Κινησίας τις τῶν πολιτῶν, ἀκρατῶς ἔχων τῆς γυναικὸς, παραγίνεται· ἡ δὲ χυτροτομοῦσα αὐτὸν ἐπαγγέλλεται μὲν, τὰ περὶ τῶν διαλλαγῶν δὲ σπουδάζει. ἀφικνοῦνται δὲ καὶ παρὰ Λακεδαιμονίων περὶ σπονδῶν κήρυκες, ἐμφανίζοντες ἅμα καὶ τὰς προτέρας γυναῖκας. συνταχθέντες δὲ σφίσιν οἱ Ἀθηναῖοι πρέσβεις αὐτοκράτορας ἀποστέλλουσιν. οἱ μὲν γέροντες εἰς ταυτὸν ταῖς γυναιξὶν ἀποκαταστάντες ἕνα χορὸν ἐκ τῆς διχορίας ἀποστέλλουσι· καὶ Λυσιστράτη τοὺς παραγενομένους πρὸς αὐτὴν ἐκ Λακεδαίμονος πρέσβεις ὀργῶντας διαλλάττεσθαι προσέλκει· καὶ ἑκατέρους ἀναμνήσασα τῆς παλαιᾶς εἰς ἀλλήλους γενομένης εὐνοίας διαλλάττει ἐν φανερῷ, καὶ ξενίσασα κοινῇ παραδίδωσι τὰς γυναῖκας ἑκάστοις ἄγεσθαι. ἐδιδάχθη ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Κλεόκριτον ἄρξαντος. εἰσῆκται δὲ διὰ Καλλιστράτου. ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ Λυσιστράτη καλέσασα τὰς πολίτιδας, ὑπέθετο φεύγειν μηδὲ μίγνυσθ᾽ ἄρρεσιν, ὅπως γενομένης νῦν στάσεως ἐμφυλίου, τὸν πρὸς Λάκωνας πόλεμον αἴρωσιν λόγῳ μένωσί τ᾽ οἶκοι πάντες.

arg lys 2 (1t) ὡς δὲ συνέθετο, τινὲς μὲν αὐτῶν τὴν ἀκρόπολιν διεκράτουν, τινὲς δ᾽ ἀπεχώρουν. αἵ τ᾽ ἀπὸ Σπάρτης πάλιν ταυτὸν διεβουλεύοντο. κῆρυξ ἔρχεται λέγων περὶ τούτων. τῆς δ᾽ ὁμονοίας γενομένης, σπονδὰς θέμενοι τὸν πόλεμον ἐξώρισαν. SCHOLIA IN LYSISTRATAM (Ἐκλήθη Λυσιστράτη παρὰ τὸ λῦσαι τὸν στρατόν.

sch lys ante ) ἀλλ’ εἴ τις Βακχεῖον: Καὶ γὰρ πολλὰς ἑορτὰς αἱ γυναῖκες ἔξω τῶν δημοτελῶν ἦγον ἰδίᾳ συνερχόμεναι.

sch lys 2 ἢ ’ς Πανός: Πανὶ ὠργίαζον (αἱ γυναῖκες μετὰ κραυγῆς). καὶ Μένανδρος ἐν Δυσκόλῳ «σιωπῇ φασι «τούτῳ τῷ θεῷ οὐ δεῖν προσιέναι.» ἢ ’πὶ Κωλιάδ’: Κωλιάδος Ἀφροδίτης ἱερόν (ἐστιν) ἐν τῇ Ἀττικῇ. ὁ δὲ τόπος καλεῖται Κωλιάς· ἔστι γὰρ ἐγκείμενος ὁμοίως ἀνθρώπου κώλῳ. καὶ οἱ ἐνοικοῦντες Κώλιοι. ἔνθα ὄστρακα κάλλιστα. καὶ ἡ Γενετυλλὶς δὲ γυναικεία θεὸς περὶ τὴν Ἀφροδίτην ἀπὸ τῆς γενέσεως τῶν παίδων ὠνομασμένη. κωμῆτις: Ἀντὶ τοῦ γείτων.

sch lys 5 κῶμαι δὲ τὰ ἄμφοδα. ὅθεν καὶ τὸ ἐπικωμάσαι. τοξοποιεῖν: Ἀντὶ τοῦ ἐσκυθρωπακέναι.

sch lys 8 ἀπὸ τοῦ παρακολουθοῦντος. τοιοῦτον γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Ὅμηρος [Il. O, 102] οὐδὲ μέτωπον ἐπ’ ὀφρύσι κυανέῃσιν ἰάνθη. (καὶ Σοφοκλῆς «ὡς ἂν Διὸς μέτωπον ἐκταθῇ χαρᾷ.») (εἰρημένον: Ἀντὶ τοῦ εἰρημένου.

sch lys 13 Ἀττικῶς.) φαύλου: Εὐτελοῦς.

sch lys 17 ἐκύπτασεν: Ἀντὶ τοῦ ἐστράγγευσεν. κυπτάζειν ἐστὶ τὸ περί τι πονεῖν καὶ διατρίβειν. κομψῶς δὲ τῇ ἀμφιβολίᾳ καὶ χαριέντως ἐχρήσατο, καθὰ καὶ Σώφρων «ἐνθάδε κυπτάζουσι πλεῖσται γυναῖκες.» ἀναγκαῖα.

sch lys 22 συγκαλεῖς: Συνήγαγες. μῶν καὶ παχύ: Ὡς πρὸς τὸ αἰδοῖον.

sch lys 25 οὐχ οὗτος ὁ τρόπος: Ἀντὶ τοῦ οὐ κατὰ τοῦτον τὸν τρόπον λέγω τὸ πρᾶγμα εἶναι μέγα καὶ παχὺ, καθ’ ὃν σὺ ὑπονοεῖς. ἐρριπτασμένον: Γεγυμνασμένον καὶ ηὑρημένον.

sch lys 27 ὥστε μεριμνῶσάν με ῥιπτάζεσθαι καὶ στρέφεσθαι. τοιοῦτοι γὰρ οἱ μεριμνῶντες. βέλτιον δὲ ἀπὸ τῶν κύβων τὴν μεταφορὰν νοεῖν (ἀνερριμμένων, ὅπως ἂν ἔλθοι. καὶ γὰρ ἐπὶ τῶν κύβων ἀναβάλλομεν, μέχρις ἂν ἔλθῃ τὸ προκείμενον βληθῆναι). ἐπ’ ὀλίγου γὰρ εἴχετο: Ἀντὶ τοῦ μικρὰν ἔχουσι τὴν ἀφορμὴν τῆς σωτηρίας.

sch lys 33 ἢ μηκέτ’ εἶναι μηδὲ Πελοποννησίους: Μὴ πεισθέντας ἡμῖν (μήτε τοὺς Ἀθηναίους μήτε τοὺς Πελοποννησίους). ὡς φιλόπατρις δὲ ἀπεσιώπησε τοὺς Ἀθηναίους. μηκέτ’ εἶναι νὴ Δία: Πρὸς τοὺς Λακεδαιμονίους ἀπήντησε.

sch lys 36 ἀλλ’ ἄφελε τὰς ἐγχέλεις: Ἐν γὰρ τῇ Κωπαΐδι λίμνῃ μέγισταί εἰσιν ἐγχέλεις, ᾤκουν τε τὴν Βοιωτίαν καὶ οἱ λεγόμενοι Ἐγχελεῖς, περὶ ὧν Ἑλλάνικος ἐν τοῖς Βοιωτιακοῖς φησίν. Ἄλλως. ἐπειδὴ ἀπὸ Κωπαΐδος λίμνης Βοιωτίας φέρονται ἐγχέλεις Ἀθήναζε. οὐκ ἐπιγλωττήσομαι: Οὐ φλυαρήσω.

sch lys 37 οὐ βλασφημήσω. ἀλλ’ ὑπονόησον: Ὅτι ἀπολοῦνται δηλονότι.

sch lys 41 ἡμεῖς: Αἱ Ἀττικαί. ἐξηνθισμέναι: Ἄνθη φοροῦσαι.

sch lys 43 τοῖς ἄνθεσι κεκοσμημέναι, οἷον ψιμυθίῳ καὶ φύκει καὶ τοῖς ὁμοίοις. καὶ Κιμβερίκ’ ὀρθοστάδια: Κιμβερικὰ, ἢ Κιμβερινὰ, ὡς Ταραντῖνα, εἶδος ἐνδύματος, ἀπὸ τόπου.

sch lys 45 ὀρθοστάδια δὲ οἱ στατοὶ χιτῶνες, οἱ δὲ συρόμενοι συρτοί. περιβαρίδας: Ὑποδήματος εἶδος αἱ περιβαρίδες, ὡς Θεόπομπος ἐν Σειρῆσιν «ὑποδοῦ λαβὼν τὰς περιβαρίδας.» χἤγχουσα: Τὸ πλῆρες καὶ ἡ ἄγχουσα.

sch lys 48 ἔστι δὲ εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρὰ, ᾗ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες. διαφανῆ: Οὐ τὰ λαμπρὰ, ἀλλὰ τὰ ἰσχνὰ, δι’ ὧν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν. ταῦτ’ αὐτὰ γάρ τοι: Ταῦτα γάρ ἐστι τὰ ὑποδήματα καὶ τὰ ἐνδύματα, ἃ σώζειν ἡμᾶς προσδοκῶ.

sch lys 51 (κροκωτὸν ἄρα: Εἰ ἄρα οὕτως ἔχει, καλλωπισθήσομαι καὶ γραῦς οὖσα.) οὐ γὰρ μὰ Δί’ ἀλλὰ πετομένας: Οὐ μετὰ βραδυτῆτος ἥκειν ἔδει, ἀλλὰ πετομένας.

sch lys 56

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄψει τοι σφόδρ’ αὐτὰς Ἀττικάς: Ὡς τῶν Ἀθηναίων ἀεὶ μελλόντων. καὶ τὰς γυναῖκας (γοῦν) ὄψει Ἀττικὰς ἀκριβῶς, οἷον μελλούσας ἐν τῷ πράγματι. ἀλλ’ οὐδὲ παράλων: (Τῶν ἐν παράλῳ οἰκουσῶν.

sch lys 58 παραλία γὰρ μοῖρα τῆς Ἀττικῆς·) διῄρητο γὰρ εἰς δʹ μερίδας τὸ παλαιὸν ἡ Ἀττική· Πανδίων γὰρ διαδεξάμενος τὴν Κέκροπος βασιλείαν, προσκτησάμενος δὲ καὶ τὴν Μεγαρίδα, ἔνειμε τὴν χώραν τοῖς παισὶν εἰς δʹ μοίρας· Αἰγεῖ μὲν τὴν παρὰ τὸ ἄστυ μέχρι Πυθίου, Πάλλαντι δὲ τὴν Παραλίαν, Λύκῳ δὲ τὴν Διακρίαν, Νίσῳ δὲ τὴν Μεγαρίδα. (οὐδ’ ἐκ Σαλαμῖνος: Ἡ Σαλαμὶς μοῖρα τῆς Μεγαρίδος.

sch lys 59 ) ἐπὶ τῶν κελήτων: Κέλης εἶδος πλοιαρίου μικροῦ.

sch lys 60 καὶ ἵππος δὲ κέλης ὁ γυμνός. λέγει οὖν ὅτι ἐν πλοίῳ εἰσὶν ἐρχόμεναι. ἀφ’ οὗ νῦν κακεμφάτως ἐπὶ τῶν Σαλαμινίων τὸ αἰδοῖον φησί. ναυτικοὶ δὲ οἱ Σαλαμίνιοι, (ἐπεὶ καὶ νησιῶται). τὰς Ἀχαρνέων: Εἰκότως, ἐπεὶ πολεμικοὶ οἱ Ἀχαρνεῖς.

sch lys 62 Ἄλλως. εἰκότως, ἐπεὶ ὁ δῆμος τῶν Ἀχαρνέων ἐτετίμητο, διὰ τοῦτο τὰς ἐκεῖθεν προσδοκᾷ γυναῖκας. ὁ δὲ Θεογένης κομπαστὴς Ἀχαρνεύς. ἐπειδὴ δὲ κέλητα εἶπεν, ἐπήγαγεν ἀκάτιον. ἀκάτιον τὸ Ἑκάτης ξόανον.

sch lys 64 R. Ἀναγυρουντόθεν: Δῆμός τις Ἀττικῆς, ἀπὸ Ἀναγύρου ἥρωος.

sch lys 68 παρὰ τὴν παροιμίαν, κινήσω τὸν ἀνάγυρον. ἔστι δὲ πόα δυσώδης. ἀντὶ τοῦ μεγάλου.

sch lys 71 R. δεῖ: Ἀντὶ τοῦ δέει.

sch lys 74 ὀλίγου γ’: Ἀντὶ τοῦ πρὸς βραχὺν χρόνον. σφριγᾷ: Εὐσθενεῖ, εὐσωματεῖ.

sch lys 81 εἰς ἐκεῖνο τείνει ὅτι εὐημέρουν τότε οἱ Λάκωνες. R ναὶ σιώ: Τοὺς Διοσκόρους λέγει. Λακωνικῶς δὲ φθέγγεται, ὡς αἱ Ἀττικαὶ νὴ τὼ θεὼ, (ἤτοι τὴν Κόρην καὶ τὴν Δήμητρα). γυμνάδδομαι: Ἐν γὰρ τῷ γυμνάζεσθαι πηδᾶν εἰώθασι, καὶ οἱ πόδες ἅπτονται τῆς πυγῆς τοῦ πηδῶντος.

sch lys 83 ὡς δὲ καλόν: Ὡς ἐκείνης ἁψαμένης αὐτῆς. τὰ γὰρ ἱερεῖα μέλλοντες θύειν ψηλαφῶσιν, εἰ λιπαρά ἐστι. ψηλαφᾶτε R.

sch lys 87 ποθ’ ὑμέ: Ἀντὶ τοῦ πρὸς ὑμᾶς. καλόν γ’ ἔχουσα τὸ πεδίον: Λέγεται γὰρ ἡ Βοιωτία εὐπεδιὰς εἶναι.

sch lys 89 κομψότατα: Κομψῶς ἔχουσα τὸ αἰδοῖον. ἁπτομένη δὲ αὐτοῦ τοῦτό φησι. βληχώ γε: Τὴν λεγομένην βλήχωνα. παίζει δὲ εἰς τὸ γυναικεῖον αἰδοῖον αἰνιττομένη. Ἀττικοὶ δὲ διὰ τοῦ β λέγουσι τὴν βληχώ. χαΐα: Ἀντὶ τοῦ ἀγαθὴ μὲν, Κορινθία δέ.

sch lys 90 παίζει δὲ παρὰ τὸ κεχηνέναι. Κορινθία: Πόρνη, διὰ τὴν Λαΐδα.

sch lys 91 ἀγαθὴ μὲν, οὐ σώφρων δὲ, ἐπεὶ ἡ Κόρινθος πληθύει ταῖς πόρναις. τἀντευθενί: ἁπτομένη τῶν δύο φύσεων ταῦτά φησι.

sch lys 92 R. ξυναλίαξε: Συνήθροισε.

sch lys 94 μυσιδδέτω: Λεγέτω, τί θέλει ἡμᾶς. εὖ γὰρ οἶδ’: Ὅτι διὰ τὸν πόλεμον οὐδεὶς πάρεστι.

sch lys 103 φυλάττων Εὐκράτην: Στρατηγὸς Ἀθηναίων ὁ Εὐκράτης, κωμῳδεῖται δὲ ὡς δωροδόκος καὶ προδότης καὶ ξένος. ἐκ τᾶς ταγᾶς: Ἐκ τῆς τάξεως.

sch lys 106 πορπακισάμενος: Οἷον περονησάμενος. ἀντὶ τοῦ (ἀπολαβὼν τὴν ἀσπίδα) ἅμα τῷ παρεῖναι ἄπεισιν. ἀλλ’ οὐδὲ μοιχοῦ: Σκώπτει δὲ συνεχῶς Μιλησίους καὶ κωμῳδεῖ ὡς μοιχοὺς, ἐπειδὴ ἀπέστησαν τῶν Ἀθηναίων, καὶ πολλοὶ ἄλλοι τῶν νησιωτῶν.

sch lys 107 φεψάλυξ: Οἷον ζωπύρημα καὶ σπινθήρ. ὄλισβον: Αἰδοῖον δερμάτινον.

sch lys 109 καὶ τοῦτο εἰς τὰς Μιλησίας. παίζει δὲ ὡς τοῖς ὀλίσβοις χρωμέναις. σκυτίνη ἐπικουρία: Παρὰ τὴν παροιμίαν, συκίνη ἐπικουρία, ἐπὶ τῶν ἀσθενῶν.

sch lys 110

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ δὲ εἰς τὴν σκυτίνην μετέβαλε. σκύτινοι γὰρ οἱ ὄλισβοι. εἰσὶ δὲ δερμάτινα αἰδοῖα, οἷς χρῶνται αἱ χῆραι γυναῖκες. τοὔγκυκλον: Τὸ περιβόλαιον, (ἢ) τὸ ζωνάριον.

sch lys 114 ἐκπιεῖν: Παρ’ ὑπόνοιαν. δέον εἰπεῖν μάχεσθαι, ἐκπιεῖν εἶπε. ψῆττα: Ὄρνεόν ἐστι τετμημένον κατὰ τὸ μέσον, ὡς οἱ σφῆκες.

sch lys 115 λέγει οὖν ὅτι κἂν συμβῇ τέμνεσθαι τὸ ἥμισύ μου, βούλομαι. Ταΰγετον: Ὄρος Λακωνικῆς τὸ Ταΰγετον.

sch lys 118 ἔλσοιμ’: Τὸ ς ἀντὶ τοῦ θ· ἔλθοιμι. ὡς δυσχεροῦς ὄντος τοῦ τόπου. τί μοι μεταστρέφεσθε: Ὡς ἀηδισθεισῶν αὐτῶν καὶ μεταστραφεισῶν ἐπὶ τῷ λόγῳ.

sch lys 126 τί μοι μυᾶτε: Ὥσπερ μύες καταδύεσθε, καὶ σκαρδαμύττετε, ἢ μύλλετε, ἢ μυκτηρίζετε. μυᾶν γὰρ τὸ τὰ χείλη πρὸς ἄλληλα συνάγειν. παρατεμεῖν θ’ ἥμισυ: Πρὸς τὸ παρ’ αὐτῆς εἰρημένον.

sch lys 133 ἀλλ’ ἄλλ’ ὅτι βούλει: Ἄλλο κέλευε, μὴ μέντοι δίχα συνουσίας ἡμᾶς εἶναι. οὐδὲν γὰρ οἷον: Ἀντὶ τοῦ κωλῦον.

sch lys 135 οὕτως Ἀττικοί. οὐκ ἐτὸς ἀφ’ ἡμῶν εἰσίν: Ἀντὶ τοῦ οὐ ματαίως, ἀλλὰ δικαίως.

sch lys 138 εἰς τὴν Σοφοκλέους δὲ Τυρὼ ταῦτα συντείνει ἐκθεῖσαν τὰ τέκνα εἰς σκάφη. οὐδὲν γὰρ ἐσμὲν πλὴν Ποσειδῶν: Ἀντὶ τοῦ πλὴν τῷ βουλομένῳ μίγνυσθαι.

sch lys 139 ὁ γὰρ Ποσειδῶν κατά τινας λαβὼν εἰς σκάφος Μελανίππην συνῆλθεν. ἔστι δὲ καὶ παροιμία ἐπὶ τῶν κυλινδομένων τῷ αὐτῷ πράγματι, ἄλλο δὲ μηδὲν νοεῖν ἀνεχομένων. (ὁ δὲ νοῦς· οὐδὲν ἐσμὲν, εἰ μὴ συνουσιάζειν καὶ τίκτειν. ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ καὶ ἐγέννησε Νηλέα καὶ Πελίαν.) σὺ γὰρ ἐὰν γένῃ: Τῇ Λαμπιτοῖ λέγει.

sch lys 143 γυναῖκας ὑπνῶν: Κοιμᾶσθαι. Ἀττικὸν τὸ ὑπνῶν. τὸ γὰρ κοινὸν ὑπνοῦν. μόνη τούτων γυνή: Μόνη γυνὴ δυναμένη μηχανὴν εὑρεῖν.

sch lys 146 εἰ δ’ ὡς μάλιστ’ ἀπεχοίμεθα: Εἰ δ’ ἀπεχοίμεθα τοῦ πέους, διὰ τοῦτο εἰρήνη γενήσεται; —τὸ ἀπέχεσθαι τῆς τῶν ἀνδρῶν συνουσίας. R. Bar. νὴ τὼ θεώ: Τὴν Κόρην καὶ Δήμητρα λέγει, ὡς Ἀττική.

sch lys 149 (ἐντετριμμέναι: Καλλωπισθεῖσαι, τὰς ὄψεις τριβεῖσαι.) τοῖς ἀμοργίνοις: Οἱ μὲν χρώματος εἶδος τὴν ἀμόργην, οἱ δὲ ἀπὸ νήσου Ἀμοργοῦ τοὺς Ἀμοργίνους χιτῶνας, ὡς τὰ Θηραῖα ἀπὸ Θήρας νήσου.

sch lys 151 δέλτα: Ἀντὶ τοῦ τὸ αἰδοῖον τὸ γυναικεῖον. τοιοῦτον γὰρ τὸ σχῆμα. πλεκοῦν: Συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι.

sch lys 155 ὅγ’ ὦν Μενέλαος: Ἡ ἱστορία παρὰ Ἰβύκῳ. (τὰ δὲ αὐτὰ καὶ Λέσχης ὁ Πυρραῖος ἐν τῇ μικρᾷ Ἰλιάδι.) καὶ Εὐριπίδης [Androm. 628] «ἀλλ’ ὡς ἐσεῖδες μαστὸν ἐκβαλὼν ξίφος, φίλημ’ ἐδέξω.» μᾶλα πᾶ: Τοὺς μαστοὺς μῆλα φησίν. ἢν ἀφίωσ’: Ἐὰν παρίδωσιν οἱ ἄνδρες.

sch lys 157 R. (τὸ τοῦ Φερεκράτους: Ἐὰν ἡμᾶς παρίδωσιν οἱ ἄνδρες, τότε πάλιν ἐξέσται ὀλίσβοις χρήσασθαι, καὶ ἀποδέρειν τὰ ἀποδεδαρμένα σκύτη.

sch lys 158 Φερεκράτης ἐν δράματι εἶπε τοῦτο, ἔνθεν τάσσεται ἡ παροιμία ἐπὶ τῶν ἄλλο πασχόντων αὖθις ἐφ’ οἷς πεπόνθασιν.) κύνα δέρειν: Σχῆμά ἐστιν ἀκόλαστον εἰς τὸ αἰδοῖον. ἐν δὲ τοῖς σωζομένοις (Φερεκράτους) τοῦ κωμικοῦ τοῦτο οὐχ εὑρίσκεται. (τὰ μεμιμημένα: Ἐπεὶ τῷ ὀλίσβῳ χρῶνται ἀντὶ τοῦ αἰδοίου.

sch lys 159 φλυαρία φησὶ τὰ ἀπὸ τῶν ἄλλων. λέγει δὲ τὰ εἰρημένα Φερεκράτους.) εἰς τὸ δωμάτιον: Εἰς τὸ κοιτώνιον.

sch lys 162 παρέχειν χρή: Συνουσιάζειν δηλονότι, τουτέστιν οὐκ ἐκ προαιρέσεως, ἀλλ’ ἄνευ ἡδονῆς. ἀπεροῦσιν: Ἀπαγορεύσουσιν καὶ παύσονται τοῦ πολέμου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 166 ξυμφέρῃ: Ἀντὶ τοῦ ἁρμόζηται. Ἀσαναίων: Ἀθηναίων.

sch lys 170 ῥυχάχετον: Τὸν θόρυβον καὶ συρφετόν. μὴ πλαδδιῆν: (Μὴ παραφρονεῖν.

sch lys 171 ) μὴ πολεμεῖν, μὴ πλησιάζειν. οὐχ ἇς σποδᾶς: Οὐκ ἂν ἄγοιεν εἰρήνην οἱ Ἀθηναῖοι, ἕως ἂν θαλασσοκρατῶσιν καὶ τὸ ἀργύριον τὸ ἄβυσσον ᾖ παρὰ τῇ θεῷ ἐν τῇ ἀκροπόλει.

sch lys 173 καὶ γὰρ ἀληθῶς ἀπέκειτο χίλια τάλαντα. (ἤρξαντο οὖν κινεῖν αὐτὰ ἐπὶ Καλλίου ἄρχοντος, ἐφ’ οὗ εἰσήχθη τὸ δρᾶμα, ὥς φησι Φιλόχορος ἐν Ἀτθίδι.) σποδᾶς: Ἀντὶ τοῦ σπουδῆς. ἀλλ’ ἔστι καὶ τοῦτ’ εὖ παρεσκευασμένον: Τὸ λαβεῖν τὸ ἀργύριον ἀπὸ τοῦ ἱεροῦ τῆς θεοῦ.

sch lys 179 θύειν δοκούσαις: Προσποιουμέναις θύειν. πάντα γ’ ἔχοι: Πάντα δ’ ἔχοι καλῶς.

sch lys 180 καὶ τάδε γὰρ ἃ λέγεις καλῶς ἔχει. ὡς ὀμιώμεθα: Ἀντὶ τοῦ ὅπως ὀμόσωμεν.

sch lys 184 Σκύθαινα: Τὴν ὑπηρέτιν λέγει. Σκύθας γὰρ καὶ τοξότας ἐκάλουν τοὺς δημοσίους ὑπηρέτας ἀπὸ τῆς ἀρχαίας χρήσεως. (ὥσπερ φασὶν Αἰσχύλος ποτέ: Παρὰ τὰ ἐν Αἰσχύλῳ ἐν Ἕπτ’ ἐπὶ Θήβαις [42] ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος.

sch lys 188 ) μηλοσφαγούσας: Ἀντὶ τοῦ ταυροσφαγούσας μηλοσφαγούσας εἶπεν.

sch lys 189 εἰ μὴ ἄρα μῆλα πάντα τὰ τετράποδα. εἰ λευκόν ποθεν ἵππον: Πρὸς τὸ αἰδοῖον παίζει τὸ λευκὸν ἵππον.

sch lys 191 λευκὸν μὲν, ὅτι φάλης τὸ αἰδοῖον λέγεται, φάλιον δὲ τὸ λευκόν· ἵππον δὲ, ἐπεὶ καὶ κέλης λέγεται. ἢ παίζει κατὰ τὸν τύπον τῶν Ἀμαζόνων. γυναῖκες γὰρ οὖσαι λευκοὺς ἵππους ἔθυον. κύλικα μεγάλην ὑπτίαν: Παίζει, ἐπεὶ καὶ ἡ ἀσπὶς ὑπτία τίθεται.

sch lys 196 Θάσιον οἴνου σταμνίον: Ἐπιεικῶς λέγουσιν οἱ Ἀττικοὶ τὰ Θάσια κεράμια σταμνία. μὴ ’πιχεῖν ὕδωρ: Δέον εἰπεῖν, μὴ λύειν τὴν εἰρήνην, εἶπε μὴ ἐπιχεῖν ὕδωρ, ἀλλ’ ἄκρατον πιεῖν, εἰς μέθην κωμῳδῶν τὰς γυναῖκας.

sch lys 200 κεραμέων ὅσος: Ὡς μεγάλης οὔσης τῆς κύλικος παίζει. τοῦ κάπρου: Ἀντὶ τοῦ αἰδοίου.

sch lys 202 ἐπειδὴ οἱ ὀμνύοντες εἰώθασιν ἐφάπτεσθαι τοῦ ἱερείου. κἀποπυττίζει: Ἀπορρεῖ.

sch lys 205 ταῦτα δὲ λέγει μιμουμένη τοὺς θυοσκόους. (τουτέστι τοὺς ἱερεῖς). ταῦτα γὰρ ἐπέλεγον τοῖς θύμασιν εὐφημίας χάριν. ἡδὺ προσόζει.

sch lys 206 R. μὰ τὴν Ἀφροδίτην: Ἐπεὶ ἡ ὀμνύουσα πρώτη ἔμελλε καὶ πρώτη πιεῖν, τοῦτό φησιν, ὅτι κλήρῳ πᾶσαι ἔλαχον, ἐμπεδώσατε.

sch lys 208 ἀσφαλίσατε. ὑπολύεταί μου τὰ γόνατα: Εἰρηκυῖα τὸν ἕνα στίχον .

sch lys 216 .... μνησθεῖσα ὅτι χωρίζεται τοῦ ἀνδρὸς, λέγει τὸ ὑπολύεταί μου τὰ γόνατα, ταῦτα φησὶν μία ὀμνύουσα, τῆς Λυσιστράτης προβαλλομένης τὸν ὅρκον. ἀταυρώτη διάξω: Οἷον ἁγνὴ καὶ ἄμικτος.

sch lys 217 ταῦρον γὰρ τὸ αἰδοῖον λέγουσιν. ἄζευκτος γάμου καὶ ἀζυγής. καὶ βοῶπις ἡ Ἥρα καὶ Ζυγία καὶ Γαμηλία. ἐπεὶ οἱ ταῦροι κατωφερεῖς. (ἐπιτυφῇ: Ἐπικαυθῇ καὶ πυρωθῇ ἐπ’ ἐμοί.

sch lys 221 ) κακῶς παρέξω: Συνουσιάσαι αὐτῷ δηλονότι, (καὶ οὐ συντερφθήσομαι).

sch lys 229 τὰ Περσικά: Εἶδος ὑποδήματος. ἐκ δὲ τούτου τοὺς πόδας οὐκ ἀνατενῶ, ἐν τῇ στέγῃ συνουσιάζουσα. οὐ στήσομαι λέαινα: Ἀντὶ τοῦ ὡς λέαινα.

sch lys 231 σχῆμα δέ ἐστιν ἀκόλαστον καὶ ἑταιρικόν. τυρόκνηστις δὲ (ἡ) μάχαιρα. ἐπὶ δὲ ταῖς λαβαῖς τῶν μαχαιρῶν ἐλεφάντινοι λέοντες γλύφονται ὀκλάζοντες, ὅπως μὴ ἀποθραύοιντο αὐτῶν οἱ πόδες, εἰ ὀρθοὶ ἑστῶτες γλύφοιντο. λέγει οὖν, ὅτι οὐκ ἐπὶ ἀνδρὶ στήσομαι πορνεύουσα, ὡς λέαινα ἐπὶ τυροκνήστιδος. ἀντὶ τοῦ ἀσφαλῆ φυλάττουσα.

sch lys 233 R. Bar. ἐρωτηματικῶς λέγει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 237 R. καθαγίσω: Οἷον καύσω, καθιερώσω.

sch lys 238 τὸ μέρος, ὦ φίλη: Καταλείψομαι μέρος, ὅπως ἡ φιλία ἐντεῦθεν ἄρξηται. τίς ἁ ὀλολυγά: Ὀλολυξασῶν τῶν ἐν ἀκροπόλει γυναικῶν (τοῦτο λέγει).

sch lys 244 τασδὶ δ’ ὁμήρους: Τὰ ἐν συνθέσει διδόμενα ἐνέχυρα ὁμήρους ἐκάλουν. τασδί: Τὰς θεραπαίνας φησί. τῇ ἀκροπόλει φησί.

sch lys 245 R. συνεμβάλωμεν: Συνέλθωμεν αὐταῖς, ὥστε τοὺς μοχλοὺς τοῦ ναοῦ βαλεῖν.

sch lys 247 ἀντὶ τοῦ καθ’ ἡμῶν. R. ὡς ἀνοῖξαι τὰς πύλας: Ἐπὶ τῷ ποιῆσαι εἰρήνην.

sch lys 252 ἀντὶ τοῦ μάτην. R. ἄμαχοι: Ἀκαταμάχητοι καὶ δειναί.

sch lys 253 χορὸς ἀνδρῶν γερόντων: Ἢ Στρυμόδωρος. ἔχειν βρέτας: Κατέχειν τὸ ἅγιον βρέτας τῆς Ἀθηνᾶς.

sch lys 263 λαβεῖν: Ἀντὶ τοῦ καταλαβεῖν. πακτοῦν: Κλείειν, ἀσφαλίζεσθαι.

sch lys 266 Φιλοῦργε: Ἐὰν ᾖ Φιλοῦργε ὡς πανοῦργε, ὄνομα κύριον· ἐὰν δὲ ὀξυτόνως, ἐπίθετον. τὰ στελέχη τῶν ξύλων.

sch lys 267 R. ἐνεστήσαντο: Ἔκριναν ποιῆσαι, σωρεύσαντες.

sch lys 269 R. Bar. ὑπὸ ψήφου μιᾶς: Ἀπὸ μιᾶς γνώμης καὶ κρίσεως.

sch lys 270 τὴν Λύκωνος: Τὴν Ῥοδίαν λέγει οὕτω καλουμένην, τὴν Αὐτολύκου μὲν μητέρα, γυναῖκα δὲ Λύκωνος, ἐπ’ αἰσχροῖς κωμῳδουμένην. Εὔπολις Πόλεσιν «ὥσπερ ἐπὶ τὴν Λύκωνος ἔρρει πᾶς ἀνήρ.» ἐγχανοῦνται: Ἐπεγγελάσουσι.

sch lys 273 Κλεομένης: Λακεδαιμόνιος ὢν στρατηγὸς, ἐπιστρατεύσας τῇ Ἀττικῇ μετά τινων Ἀθηναίων ἐπὶ τυραννίδι, τὴν ἀκρόπολιν κατέσχε, πολιορκηθεὶς δὲ ὑπὸ τῶν Ἀθηναίων καὶ ἀφεθεὶς ὑπόσπονδος, ἀπιὼν οἴκαδε πάλιν Ἐλευσῖνα κατέσχε. τῶν δὲ μετὰ Κλεομένους Ἐλευσῖνα κατασχόντων Ἀθηναῖοι τὰς οἰκίας κατέσκαψαν καὶ τὰς οὐσίας ἐδήμευσαν, αὐτῶν δὲ θάνατον ἐψηφίσαντο. καὶ ἀναγράψαντες εἰς στήλην χαλκῆν ἔστησαν ἐν πόλει παρὰ τὸν ἀρχαῖον νεών. ἀψάλακτος: Ἀπαθὴς, ἀτιμώρητος, Λακωνικὸν πνέων: Ἰσχυρόν, ἢ τὰ Λακώνων φρονῶν.

sch lys 277 παραδοὺς ἐμοί: Τῷ δήμῳ τὰ ὅπλα παραδούς. ἀπαράτιλτος: Ἀντὶ τοῦ δασὺς καὶ ἄκοσμος τὰς τρίχας.

sch lys 282 ἐφ’ ἑπτακαίδεκ’ ἀσπίδας: Ὅτι τὰς τάξεις ἀσπίδας ἔλεγον, (καὶ αὐτὸς πάλιν Ἀριστοφάνης ἐν Βαβυλωνίοις ἵστασθ’ ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας. ) ἐπὶ τάξεσιν ἑπτακαίδεκα καθεύδων, ὥστε τὸ βάθος τῆς φρουρᾶς ἑπτακαίδεκα κατέχειν ἀσπίδας. τασδὶ δὲ τὰς Εὐριπίδῃ: Τὰς γυναῖκας.

sch lys 283 μισογύνης γὰρ ὁ Εὐριπίδης καὶ πολλὰ κατ’ αὐτῶν λέγων. τολμήματος: Ἐκείνου περιεγενόμην, τῶν δὲ γυναικῶν τοῦ τολμήματος οὐ περιγένωμαι; μή νυν: Ἀντὶ τοῦ μὴ δή.

sch lys 285 τρόπαιον δὲ τὸ ἐν Μαραθῶνι τὸ κατὰ Περσῶν. (ἡ γὰρ Μαραθὼν τῆς Τετραπόλεως μέρος. τὰ δὲ λοιπὰ Οἰνόη, Προβάλινθος, Τρικόρυθος.) ἀλλ’ αὐτὸ γάρ μοι τῆς ὁδοῦ: Ἀντὶ τοῦ πλησίον γεγόναμεν τῆς ἀκροπόλεως.

sch lys 286 καὶ οὗτός ἐστιν ὁ μεταξὺ ὀλίγος τόπος ὁ λειπόμενος. τὸ σιμὸν, οἷ σπουδὴν ἔχω: (Τὸ πρὸς τὴν ἀκρόπολιν.

sch lys 288 ) τὸ σιμὸν ὄνομα χωρίου περὶ τὴν ἀκρόπολιν. (τὸ σιμόν) ἀντὶ τοῦ πρόσαντες. ἢ ὄνομα χωρίου. (καὶ ἐν Βαβυλωνίοις «μέσην ἔρειδε πρὸς τὸ σιμόν.» καὶ Πλάτων ἐν Νίκαις τουτὶ προσαναβῆναι τὸ σιμὸν δεῖ. ) ἐξαμπρεύσομεν: Τὸ τῷ ἕλκοντι ζεύγει βοηθεῖν ἀμπρεύειν λέγεται.

sch lys 289 καὶ ἄμπρον τὸ διῆκον σχοινίον. ἐξαμπρεύσομεν: Ἕλξομεν τὸ ξύλον τοῦτο ἄνευ ὄνου. ἐξιπώκατον: Θλίβουσιν, ἢ ἐθλίψατον.

sch lys 291 τὼ ξύλω δυϊκῶς. φυσητέον: Ἐν χύτρᾳ πῦρ εἶχον δι’ ἀνθράκων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 294 μή μ’ ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ: Μὴ μετὰ τὸ διελθεῖν τὴν ὁδὸν σβεσθῇ. φῦ φῦ: Φυσᾷ τῷ στόματι. (τοῦτο δὲ παρεπιγραφή.) τὼ ’φθαλμὼ δάκνει: Δάκνει μου τοὺς ὀφθαλμοὺς ὥσπερ κύων.

sch lys 298 παρὰ τὰς λήμας δὲ τὸ Λήμνιον πέπαιχεν. ἔστι δὲ παρὰ τὴν παροιμίαν, Λήμνιον κακὸν, παρὰ τὰς Λημνιάδας γυναῖκας. (Λήμνιον τὸ πῦρ: Ἀντὶ τοῦ πάνυ γενναῖον.

sch lys 299 ἢ ἀπὸ τῶν Λημνίων γυναικῶν, πορνῶν οὐσῶν. ἢ ἀπὸ τῶν καμίνων τοῦ Ἡφαίστου.) πάσῃ μηχανῇ: Ἀντὶ τοῦ κατὰ πάντα τρόπον.

sch lys 301 (ἔβρυκε τὰς λήμας: Λήμας νῦν τοὺς ὀφθαλμούς. ἔστι δὲ κυρίως ἡ τῶν ὀφθαλμῶν ἀκαθαρσία.) σπεῦδε πρόσθεν ἐς πόλιν: Ὡς πρός τινα λέγει.

sch lys 304 φῦ φῦ: Φυσᾷ πάλιν. εἰ τὼ μὲν ξύλω: Δυϊκῶς πάλιν τὼ ξύλω.

sch lys 307 λέγει δὲ ἃ ἐβάσταζε ξύλα. τὸν φανὸν ἐγκαταθέντες: Φανὸν μὲν πᾶν τὸ φαῖνον ἐκάλουν.

sch lys 308 ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἔξαψιν, ὡς καὶ ἐν Λημνίαις φησί. κριηδόν: Δίκην κριοῦ.

sch lys 309 κριὸς γὰρ χαλκοῦν μηχάνημα, ὃ τοῖς τείχεσι προσφέρουσιν οἱ βάρβαροι. φεῦ τοῦ καπνοῦ: Ὑπὸ τοῦ καπνοῦ ἀδικούμενος τοῦτό φησι.

sch lys 313 τῶν ἐν Σάμῳ στρατηγῶν: Δίδυμος καὶ Κρατερός φασι ταῦτα αἰνίττεσθαι εἰς Φρύνιχον τὸν Στρατωνίδου. ἐκακοηθεύσατο γὰρ πρὸς τὸν δῆμον ἐν Σάμῳ στρατηγῶν· ὥστε ἐψηφίσατο κατ’ αὐτοῦ ὁ δῆμος δημόσια εἶναι τὰ Φρυνίχου χρήματα καὶ τῆς θεοῦ τὸ δέκατον μέρος, καὶ τὴν οἰκίαν κατεσκάφθαι αὐτοῦ. καὶ ἄλλα πολλὰ κατ’ αὐτοῦ ἔγραψεν ἐν στήλῃ χαλκῇ. καὶ ἐν Βατράχοις [689] κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν. Ἄλλως. οἱ ἐν Σάμῳ στρατηγοῦντες ἐδυστύχησαν πάνυ. λέγει οὖν, τίς ἐκείνων συλλάβοιτο τοῦ ξύλου, ἵνα πλέον δυστυχήσῃ. ταυτὶ μὲν ἤδη τὴν ῥάχιν: Ὡς ἀποθέμενος λέγει τὰ ξύλα.

sch lys 317 ξυγγενοῦ: Σύνελθε. ἐν πόλει: Ἐν τῇ ἀκροπόλει. θέσθαι τρόπαιον ἡμᾶς: Κατὰ τῶν γυναικῶν.

sch lys 320 ὥσπερ πυρὸς καομένου: Γυναῖκές τινες ὑδροφοροῦσαι παρακελεύονται ἀλλήλαις. αἱ δὲ λοιπαί εἰσιν ἐν τῇ ἀκροπόλει. πέτου πέτου: Νῦν ἐστιν ἡμιχόριον τὸ λέγον ἐκ γυναικῶν εἰσερχομένων ἄνωθεν, ἵνα καὶ τὸ ὕδωρ αὐτῶν καταχέωσιν ἄνωθεν.

sch lys 321 τὸ δὲ ἄλλο ἡμιχόριον ἐξ ἀνδρῶν κάτωθεν ἐπερχομένων ταῖς ἐν τῇ ἀκροπόλει εἰς πολιορκίαν. πέτου, πέτου Νικοδίκη: Ὀνόματα γυναικῶν τῶν ἐν τῇ ἀκροπόλει. λείπει πυρί.

sch lys 323 R. μῶν ὑστερόπους: Μὴ ὕστερον τοῦ καιροῦ ἦλθον εἰς τὸ βοηθῆσαι.

sch lys 327 νῦν: Ἀρτίως. κνεφαία: Ὀρθρία. ἢ ἀόρατος. ἢ ἑσπερία. ὑδρίαν. R. καὶ πατάγου χυτρείου: Ἀντὶ τοῦ κεραμέου.

sch lys 329 ἐκ μέρους τὸ πᾶν. οὐ γὰρ χύτραις βάπτουσι. συντρίβεται δὲ τὰ κεράμια παρὰ ταῖς κρήναις. ὠστιζομένη: Ὠθουμένη, στενοχωρουμένη.

sch lys 330 στιγματίαις δὲ δούλαις. ἀπὸ τοῦ στίζεσθαι. ἀραμένη: Ἐπάρασα τὴν ὑδρίαν.

sch lys 335 τυφογέροντας: Τετυφωμένους γέροντας. ἔρρειν: Ἐπέρχεσθαι.

sch lys 336 στελέχη: Ξύλα. ὥσπερ βαλανεύσοντας: Ὥσπερ βαλανεῖον ὑποκαύσοντας.

sch lys 338 ἐς πόλιν: Εἰς τὴν ἀκρόπολιν. ἐς τριτάλαντον βάρος: (Ὡς) τριῶν ταλάντων βάρος. ἅς ὦ θεά: Πρὸς τὴν Ἀθηνᾶν εὔχεται.

sch lys 343 Ἑλλάδα καὶ πολίτας: Ἀπὸ κοινοῦ τὸ ἴδοιμι. πολιοῦχε, σὰς ἔσχον ἕδρας: Τὸν ναόν σου κατέλαβον.

sch lys 349 φέρειν ὕδωρ μεθ’ ἡμῶν: Ἀντὶ τοῦ ἐπικουρεῖν ἡμῖν καὶ συσβεννύειν. μοχθηροί.

sch lys 350

Eulogikon public reading copy · View original HTML at eulogikon.org

R. μάχεται.

sch lys 353 R. τί βδύλλεθ’ ἡμᾶς: Τί εὐτελίζετε.

sch lys 354 ἢ φοβεῖσθε καὶ τρέμετε. περικατάξαι αὐταῖς τὸ ξύλον.

sch lys 357 R. Bar. (εἰ νὴ Δία τὰς γνάθους: Εἴ τις ἠπείλησε τύπτειν καθάπερ Ἱππῶναξ τὸν Βούπαλον.

sch lys 360 ) ἐκκοκκιῶ: (Οἷον αἱματώσω,) ἐκβαλῶ.

sch lys 364 ἡ μεταφορὰ ἀπὸ τῶν ῥοιῶν. —ὡς πρὸς τὰς γραίας ὁ τῶν γερόντων χορός. R. Στρατύλλιδος: Ἀντὶ ἐμοῦ.

sch lys 367 βρύκουσα: Ἐσθίουσα, δάκνουσα. —ἐξαμήσω: οἷον ἐξανύσω, ἐξοίσω. R. οὐκ ἔστ’ ἀνὴρ Εὐριπίδου: Ὅτι κατὰ γυναικῶν εἶπε.

sch lys 368 φησὶ γὰρ κακῶν δὲ πάντων τέκτονες σοφώταται. αἰρώμεθ’ ἡμεῖς θοὔδατος τὴν κάλπιν: Ἵνα σβέσωμεν τὸ πῦρ.

sch lys 372 ὦ τύμβε: Ὡς πρὸς γέροντα εἶπεν. ἀντὶ τοῦ ὦ ταφῆναι ἄξιε. [Hinc adv. 405 nulla scholia in cod. Rav.] οὐκ οἶδά ς’ εἰ τῇδ’ ὡς ἔχω: Οὐκ οἶδα ἐγὼ εἰ ταύτῃ σε τῇ λαμπάδι ὀπτήσω.

sch lys 376 κυρίως δὲ σταθεύειν τὸ μὴ λίαν κατοπτᾶν, ἀλλὰ τῷ πυρὶ ἡσύχως χλιαίνειν τὸ κρέας. καὶ ἐν Ἀχαρνεῦσι [1041] «τὰς σηπίας σταθεύσω.» τὸ γὰρ μικρὸν οὖν καίειν σταθεύειν λέγεται. ῥύμμα: Τὸ παρ’ ἡμῖν σμῆγμα, ἢ νίτρον.

sch lys 377 ἢ ῥύμμα, ἀντὶ τοῦ ῥύπον. καὶ ταῦτα νυμφικόν: Περὶ γαμηλίων λουτρῶν Μένανδρος ἐν Κρητί φησι καὶ ἐν Ὑποβολιμαίῳ.

sch lys 378 ἐκ δὲ τοῦ ἐναντίου εἰς γέροντα εἶπε νυμφικόν. ἤκουσας αὐτῆς τοῦ θράσους: Πρὸς ἑταῖρον αὐτοῦ.

sch lys 380 ἡλιάξεις: Δικάσεις. καὶ Ὅμηρος [Il. A, 232] «νῦν ὕστατα λωβήσαιο.» φονεύσω γάρ σε. σὸν ἔργον ὦ ’χελῶε: Τὸ ὕδωρ ἅμα καταχέουσι.

sch lys 381 ταῖς κάλπισι δὲ παρακελεύονται. μῶν θερμὸν ἦν: Ἡ ἐπιχέουσα αὐτοῦ τὸ ὕδωρ λέγει.

sch lys 384 ἄρδω ς’ ὅπως: Ποτίζω σε, ἵνα νεάσῃς, ἐπεὶ γέρων ἦν. τὸ γὰρ ὕδωρ αὔξει τὰ φυτά. ἀλλ’ αὗός εἰμι: Ἐπὶ τοῦ ὕδατος δηλονότι τρέμει ὁ γέρων.

sch lys 386 συγχλιανεῖς: Θερμανεῖς. ἐξέλαμψεν: Ἐφανερώθη ἡ ἀταξία καὶ ἡ κακία τῶν γυναικῶν.

sch lys 387 προβούλευμα δὲ τάγμα ἐν Ἀθήναις. εἷς οὖν αὐτῶν ἔρχεται. χὠ τυμπανισμός: Ὃ βούλεται δηλῶσαι, τοῦτό ἐστιν, ὅτι οὗτός ἐστιν ὁ τυμπανισμὸς καὶ ὁ Ἀδωνισμὸς, οὗ ἤκουον ἐν τῇ ἐκκλησίᾳ.

sch lys 388 τοῦτο δὲ ἔλεγεν ἐν τῇ ἐκκλησίᾳ ὁ Δημόστρατος, πλεῖν εἰς Σικελίαν. ἐν δὲ τῷ αὐτὸν λέγειν γυνή τις τὸν Ἄδωνιν ὀρχουμένη αἶ αἶ φησὶν ὑμνοῦσα. αὐτῆς δὲ ὀρχουμένης ὁ Δημόστρατος, ἔτι ἐν τῇ ἐκκλησίᾳ ὑπάρχων, ἔλεγε καταλέγειν Ζακυνθίων ὁπλίτας. πάλιν δὲ ἡ γυνὴ ἐν γειτόνων ἐπὶ τοῦ τέγους πεπτωκυῖα, ἔλεγε κόπτεσθαι τὸν Ἄδωνιν. ὁ δὲ Δημόστρατος ἐβιάζετο ἐξ αὐτῶν θρυλουσῶν καὶ μὴ ἐωσῶν αὐτὸν δημηγορεῖν. Σαβάζιοι: Οἱ ὀργιασμοὶ τοῦ Σαβαζίου, ὃν οἱ μὲν τὸν αὐτὸν τῷ Διονύσῳ ὑπειλήφασι· τυχεῖν δὲ τῆς προσηγορίας ταύτης διὰ τὸν γινόμενον περὶ αὐτὸν εὐασμόν. τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν ἔλεγον. ὅτι δὲ εἷς ἐστιν ὁ θεὸς Σαβάζιος καὶ Διόνυσος πολλοὶ μαρτυροῦσι κωμικοί. ὅ τ’ Ἀδωνιασμός: Ἑορτὴν γὰρ ἐπετέλουν τῷ Ἀδώνιδι αἱ γυναῖκες καὶ κήπους τινὰς εἰς τὰ δώματα ἀνέφερον.

sch lys 389 τινὲς δὲ ἐκ τούτου τὸ δρᾶμα Ἀδωνιαζούσας ἐπιγράφουσιν οὐ καλῶς. παρὰ πολλοῖς δὲ ὀργιάζονται αἱ γυναῖκες θεοὺς οὐ δημοτελεῖς οὐδὲ τεταγμένους. πλεῖν εἰς Σικελίαν: Ὡς Σικελίας πολεμούσης αὐτοῖς.

sch lys 392 ἡ γυνή: Ἡ ἐν γειτόνων. L Ζακυνθίων: Ἔθνος περὶ τὴν Κεφαληνίαν, σύμμαχον Ἀθηναίων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 395 ἡ δ’ ὑποπεπτωκυῖα: Ὁ μὲν κατέλεγεν στρατιώτας εἰς πόλεμον, ὁ δὲ ἐπόρνευε. ὁ δ’ ἐβιάζετο: Ὑπὸ τῶν γυναικῶν ἐξηνάγκαζε τὴν φωνὴν αὐτοῦ, ὥστε ἐξακουσθῆναι ἐν τῇ ἐκκλησίᾳ, τοσούτου ὄντος ψόφου τῶν γυναικῶν ἐν τοῖς δώμασιν.

sch lys 397 Χολοζύγης: Δημόστρατος Βουζύγης ἐλέγετο, ὃν Χολοζύγην εἶπε διὰ τὸ μελαγχολᾶν. καὶ Εὔπολις δὲ ἐν Δήμοις ὡς μανιώδη αὐτὸν λέγει τί κέκραγας ὥσπερ Βουζύγης ἀδικούμενος; καὶ ἄλλοι. ὥσπερ ἐνεουρηκότας: Ἵνα ἀποβάλωνται τὸ ὕδωρ.

sch lys 403 τὸν ἁλυκόν: Τὸν θαλάσσιον. τινὲς δὲ ὑπονοοῦσιν ἀπὸ πόλεως Πελοποννησίων Ἀλύκου, ἔνθα τιμᾶται ὁ Ποσειδῶν. (ξυμπονηρευώμεθα: Ὁρῶντες αὐτὰς πονηρὰ πραττούσας ἀνεχόμεθα.

sch lys 404 ) οἳ λέγομεν: Οἵτινες ἡμεῖς.

sch lys 407 ἐν τῶν δημιουργῶν: Εἰς τὰ τῶν δημιουργῶν. τὸν ὅρμον ὃν ἐπεσκεύασας: Ἀντὶ τοῦ ὅρμου Ἀττικῶς.

sch lys 408 ὡς πρός τινα ἀπό τινος. βάλανος: Ἡ περόνη.

sch lys 410 ταῦτα δὲ πάντα εἰς τὸ κακέμφατον λαμβάνεται. πάσῃ τέχνῃ: Παντὶ τρόπῳ.

sch lys 413 τὸν βάλανον: δύο ἐννοίας ἔχει, τοῦ αἰδοίου καὶ τοῦ ψελίου. R. Bar. τὸ δακτυλίδιον πιέζει τὸν ζυγόν: Μέρος τοῦ σανδαλίου.

sch lys 417 ἀντὶ τοῦ ὑπὸ τοῦ ζυγοῦ ὁ δάκτυλος ἁπαλὸς ὢν πιέζεται θλιβόμενος. νῦν δὲ ἀμφιβόλως εἴρηκεν. ζυγὸς δὲ καλεῖται ὁ περικείμενος τοῖς γυναικείοις σανδαλίοις ἱμὰς κατὰ τοὺς δακτύλους πρὸς τὸ συνέχειν ἐζυγωμένον τὸν πόδα. (χάλασον: Πρὸς τὸ κακέμφατον.

sch lys 419 ) (εἰς τοιαυτὶ πράγματα: Εἰς τὰς νῦν ὕβρεις.

sch lys 420 ) ἐκπορίσας: Συλλέξας.

sch lys 421 πρόβουλοι δὲ πρὸς τοῖσδε ᾑρέθησαν ἄλλοι κʹ, εἰσηγησόμενοι τὰ δοκοῦντα (βέλτιστα) τῇ πολιτείᾳ μετὰ τὴν ἐν τῇ Σικελίᾳ συμφοράν. (κώπης: Κωπηλάται)—δέοντος.

sch lys 422 R. τί κέχηνας ὦ δύστηνε: Πρός τινα (λέγει) τῶν δημοσίων ὑπηρετῶν.

sch lys 427 ἀλλ’ ἢ καπηλεῖον σκοπῶν: Ὡς μεθύσῳ λέγει. (δεῖ: Ἀντὶ τοῦ δῆσον.

sch lys 434 ) (οὐ ξυναρπάσῃ μέσην: Ὡς τοῦ δημοσίου φεύγοντος.

sch lys 437 ) νὴ τὴν Πάνδροσον: Θυγατέρες Κέκροπος Πάνδροσος καὶ Ἀγραύλη.

sch lys 439 ἐκ τῆς Πανδρόσου δὲ καὶ ἡ Ἀθηνᾶ Πάνδροσος καλεῖται. (ταύτῃ: Τῇ Λυσιστράτῃ.) νὴ τὴν Φωσφόρον: Τὴν Ἄρτεμιν οὕτως ἐκάλουν, ἐπεὶ δᾳδοῦχος.

sch lys 443 ἡ αὐτὴ γὰρ τῇ Ἑκάτῃ. —ἢ ἐπεὶ καὶ τῇ σελήνῃ ἡ αὐτή. R. κύαθον αἰτήσεις: Ἵνα προσθῇς ταῖς γνάθοις· οὕτως ὑπωπιασθήσῃ ὑφ’ ἡμῶν.

sch lys 444 γεμίζουσι γὰρ κύαθον θερμοῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι καὶ θεραπεύεται. νὴ τὴν Ταυροπόλον: (Οὕτω) τὴν Ἄρτεμιν ἐκάλουν.

sch lys 447 τὴν δὲ αἰτίαν Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν ἐκτίθεται. ἔστι δ’ ὅτε καὶ τὴν Ἀθηνᾶν οὕτω καλοῦσιν· ὡς Ξενομήδης ἱστορεῖ. ἐκκοκκιῶ: (Ἀνατιλῶ,) ἀνασπάσω.

sch lys 448 ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν. (στενοκωκύτους δὲ) ἐφ’ αἷς στενάξεις τιλλόμενος. (ὦ Σκύθαι: Ὦ ὑπηρέται.

sch lys 451 ) ὅτι καὶ παρ’ ἡμῖν εἰσι: Παρὰ ταῖς γυναιξὶν ὑπάρχουσι δʹ λόχοι.

sch lys 453 τοῦτο δέ φησιν, ὅτι καὶ παρὰ Λακεδαιμονίοις τέσσαρες ὑπάρχουσι λόχοι, οἷς κέχρηται ὁ βασιλεύς. (τέτταρες λόχοι: Ἀργότερον τὰ Λακώνων ἔοικεν ἐξειργάσθαι ὁ ποιητής. λόχοι γὰρ οὐκ εἰσὶ τέτταρες ἐν Λακεδαιμονίᾳ, ἀλλὰ εʹ, Ἔδωλος, Σίνις, Ἀρίμας, Πλοὰς, Μεσσοάγης. ὁ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θουκυδίδης [5, 38] ζ′ φησὶ, χωρὶς τῶν Σκιριτῶν.) λεκιθολαχανοπώλιδες: Ὠιὰ γὰρ πωλοῦσι καὶ λάχανα καὶ ὄσπρια.

sch lys 460 ὡς ἤδη κειμένων αὐτῶν. R. παύσασθ', ἐπαναχωρεῖτε: (Τοῦτο) ὡς τῶν ἀνδρῶν πεφευγότων.

sch lys 462 οἴμ' ὡς κακῶς πέπραγέ μου: Ἀντὶ τοῦ ἡττήθησαν καὶ ἠτύχησαν οἱ σύμμαχοί μου. ἐάνπερ πλησίον κάπηλος ᾖ: Ἔπαιξε διὰ τὸ φίλοινον, ὅτι πίνουσαι παροινοῦσιν.

sch lys 470 κονίας: (Νίτρου, ἢ ῥύπου.) —μὴ κεκονιμένοις ὥστε λοῦσαι. R. κυλοιδιᾶν ἀνάγκη: Τὰ περὶ τὸν ὀφθαλμὸν μέρη κοῖλα (οἰδεῖν).

sch lys 472 καὶ παρὰ Θεοκρίτῳ [1, 38] «δηθὰ κυλοιδιόωντες.» —τὴν ὄψιν οἰδεῖν. R. ὥσπερ σφηκιά: Ἀπὸ τῶν μελιττῶν μετενήνοχε.

sch lys 475 βλίττειν γὰρ κυρίως τὸ ἐκπιέζειν μέλι. (βλήττῃ: Κινήσει, ἐρεθίσει.) τοῖσι κνωδάλοις: Τοῖς θηρίοις.

sch lys 477 κυρίως δὲ τοῖς θαλαττίοις. κνώδαλα γὰρ τὰ ἐν τῇ ἁλὶ κινούμενα. καταχρηστικῶς καὶ Ὅμηρος [Od. P, 317] «κνώδαλον ὅττι δίοιτο.» ἀκρόπολιν ἱερὸν τέμενος: Ἀπὸ κοινοῦ τὸ κατέλαβον.

sch lys 484 ἀλλ' ἀνερώτα: Ἀναπαιστικὸν τὸ μέτρον. ἀκωδώνιστον: Ἀπείραστον, ἀβασάνιστον.

sch lys 485 κωδωνίσαι γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων καὶ κώδωσι διαπειρωμένων εἰ ἐγρηγόρασιν οἱ ἐπὶ ταῖς φυλακαῖς τεταγμένοι. οἱ δὲ ὑπομνηματισταὶ ἀπὸ τῶν ὀρτύγων φασὶ μετῆχθαι τὴν λέξιν. τοὺς γὰρ ὑπομείναντας τὸν ἦχον τοῦ κώδωνος ἐπιτηδείως ἔχειν πρὸς μάχην. ἔνιοι δέ φασι καὶ τοὺς ἵππους κώδωσιν ἐξετάζειν. τὴν πόλιν: Τὴν ἀκρόπολιν.

sch lys 489 (καὶ τἄλλα γε: Λείπει διὰ χρήματα.) ἵνα γὰρ Πείσανδρος: Ὁ γὰρ Πείσανδρος ποτὲ προειστήκει τῆς πολιτείας μετὰ Θηραμένους καὶ Φρυνίχου.

sch lys 490 κωμῳδοῦσι δὲ αὐτὸν καὶ ὡς δωροδόκον, ὡς καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνης. ἦν δὲ καὶ δειλός. ἔστι δὲ καὶ ἄλλος Πείσανδρος, ὁ Ὀνοκίνδιος, ὡς Εὔπολις διακρίνει τὴν ὁμωνυμίαν ἐν Μαρικᾷ. διχῶς, ὑμῖν.

sch lys 493 R. (ὡς σωθήσει κἂν μὴ βούλῃ: Τὸ ὡς προσέλαβεν ἀντὶ τοῦ ἀλλὰ μήν.

sch lys 499 διὸ τὸ χ.) κεἰ μὴ δέομαι: Καὶ εἰ μὴ δέομαι σωθῆναι.

sch lys 506 σαυτῇ κρώξαις: Ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν δυσοιωνίστων. οὐκ ἠρέσκετέ γ' ἡμᾶς: (Τὸ) σχῆμα Ἀττικόν.

sch lys 509 — ὡς τὸ ἐνοχλῶ. R. κακῶς ὑμᾶς βουλευσαμένους: Τὸ ἑξῆς, ἐγινώσκομεν ὑμᾶς κακῶς βουλευσαμένους.

sch lys 512 εἶτ' ἀλγοῦσαι τἄνδοθεν: Τὴν μὲν καρδίαν λυπούμεναι, γελῶσαι δέ. τί βεβούλευται: Τὸ ἑξῆς, τί βεβούλευται (ἐν) τῷ δήμῳ.

sch lys 514 τί δέ σοι τοῦτ' ἦδ' ὃς ἀνήρ: Ἔφη ἀνήρ τις. καὶ ἐπὶ πλήθους τούτῳ ἐχρῶντο καὶ ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ, ὡς τὸ ὦ τᾶν. εἰ μὴ τὸν στήμονα: Εἰ μὴ εὑρεθείης, φησὶ, νήθουσα τὸν στήμονα.

sch lys 519 (τὸ δὲ νήσω) ἀντὶ τοῦ νήσεις. πόλεμος δ' ἄνδρεσσι μελήσει: Παρὰ τὸ Ὁμηρικόν [Il.

sch lys 520 Z, 492]. οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ: Λείπει ἔφη.

sch lys 524 οὐκ ἔστι πολέμιος ἐν τῇ χώρᾳ. μὰ Δί' οὐ δῆθ', ἕτερός τις ἔφη. ἢ οὐκ ἔστιν ἀνὴρ ἐν τῇ Ἀττικῇ λόγου ἄξιος ἡμῖν. Ἄλλως. ἀντὶ τοῦ ἄλλος τις ἔφη, οὐ μὰ τὸν Δία οὐκ ἔστιν ἀνὴρ ἐν τῇ πόλει. ποῖ γάρ: Ἀντὶ τοῦ πότε γάρ.

sch lys 530 καὶ ταῦτα κάλυμμα φορούσῃ: Καλύμματα φοροῦσιν, ἐπειδὴ παρρησίαν οὐκ ἔχουσι καὶ πόλιν φυλάττουσιν. ἀντὶ τοῦ, οὐδὲ τῆς τριχὸς κυριεύουσιν. κάλυμμα: Κόσμιον περὶ τὴν κεφαλήν. ἀλλ' εἰ τοῦτ' ἐμπόδιόν σοι: Εἰς τὸ σιωπῆσαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 536 ἐζωσμένος ὡς γυνή. H. κυάμους τρώγων: Ἢ δικάζων, ἵνα μὴ κοιμηθῇς.

sch lys 537 γέρων γὰρ εἶ. αἴρεσθ’, ὦ γυναῖκες: (Ἀναχωρήσατε ἀπὸ τῶν καλπίδων.

sch lys 538 ταῦτα λέγουσι διὰ μέσου ἕως τοῦ προσώπου Λυσιστράτης.) —εἰσάγει αὐτὰς ὀρχουμένας ἐν τῇ σκηνῇ. παρακελεύονται γὰρ ἀλλήλαις αἱ ὑδροφόροι τῶν καλπίδων ἀναχωρῆσαι, ὅπως ἐν τῷ μέρει ὀρχήσωνται. R. οὔτε τὰ γόνατα κόπος: Ἀντὶ τοῦ οὐδὲ τὰ γόνατά μου ἔλαβε καματηρὸς πόνος.

sch lys 543 ἐθέλω δ’ ἐπὶ πᾶν ἰέναι: Πᾶν πρᾶγμα ποιῆσαι πανταχοῦ. ἀρετὴ φρόνιμος: Ἀντὶ τοῦ φρονίμη.

sch lys 549 ἀλλ’ ὦ τηθῶν: Τήθας ἐκάλουν τὰς μάμμας, τηθίδας δὲ τὰς θείας, τὰς πατρὸς ἢ μητρὸς (ἀδελφάς). τήθας δὲ καὶ τὰς τροφούς. εἰσὶ δὲ καὶ ὄστρεα θαλάσσια. (καὶ) Ὅμηρος [Il. Π, 747] «πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν.» ἀκαλήφας δὲ λέγουσι μὲν καὶ τὰς θαλασσίας, λέγουσι δὲ καὶ τὰς κνίδας Ἀττικοί. καὶ κνίδη μὲν ὅσον ἁπαλή ἐστιν, ἐπὰν δὲ σχῇ τὰς μητέρας, τουτέστι τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. ἀκαλήφας οὖν τὰς γραίας ἐκάλεσεν, ἐπειδὴ στερραὶ ἦσαν καὶ γενναῖαι. καὶ γὰρ τὸ φυτάριον δάκνει. ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων. μητριδίας δὲ λέγουσι τὰς ἐχούσας τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης· δάκνουσι δὲ αὗται. τοιαῦται γὰρ ἦσαν καὶ αἱ γραῖαι δριμεῖαι. μητριδίων ἀκαληφῶν: Δριμυτάτων. —λείπει παῖδες. R. καὶ μὴ τέγγεσθε: Ἀντὶ τοῦ βλάπτεσθε καὶ μεταβλήθητε.

sch lys 550 ἔτι γὰρ κρατοῦμεν τῶν ἀνδρῶν. ἀλλήλαις δὲ παρακελεύονται. κᾆτ’ ἐντέξῃ τέτανον: Παράσχῃ τὴν τάσιν τοῦ αἰδοίου.

sch lys 553 ὅταν γὰρ στῇ (τὸ αἰδοῖον), ὡς ῥόπαλον γίνεται. ἀγοράζοντας: Ἐν (τῇ) ἀγορᾷ διατρίβοντας.

sch lys 556 τινὰ δὲ τὸ «νὴ τὴν Παφίαν Ἀφροδίτην» τοῦ προβούλου, ἵν’ ᾖ κατ’ εἰρωνείαν. τινὰ δὲ καὶ συνάπτουσιν (αὐτὸ) τοῖς ὀπίσω. (χύτραις δὲ καὶ λαχάνοις ἀντὶ τοῦ) χυτροπωλίοις καὶ λαχανοπωλίοις. Κορύβαντες: Ἔνιοι τοὺς Κούρητας καὶ Κορύβαντας τοὺς αὐτοὺς ὑπειλήφασιν.

sch lys 558 ἦσαν δὲ Διὸς τροφεῖς οὗτοι καὶ φύλακες. τινὲς δὲ αὐτοὺς δέκα φασὶν, ἄλλοι δὲ ἐννέα. ἦσαν δὲ τῆς Ῥέας παῖδες. εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον: Εἰς χαλκῆν περικεφαλαίαν.

sch lys 562 (λέκιθος δὲ, ἐπεὶ ἔοικε λεκίθῳ ᾠοῦ.) πέλτην: Ἀσπίδα.

sch lys 564 ἐδεδίσκετο: Ἐφόβει. ἰσχαδόπωλιν: Ἰσχὺν μὴ ἔχουσαν. δρυπέτεις: Τὰς ἐπὶ τῶν δένδρων πεπανθείσας ἐλαίας φασὶ δρυπέτεις. νῦν δὲ ἐπὶ τῶν ἰσχάδων. φαύλως πάνυ: Εὐχερῶς.

sch lys 567 κλωστήρ: Νῦν τὸ νῆμα κλωστήρ. τὴν οἰσπωτήν: Τοῦ ἐρίου ὁ ῥύπος οἰσπωτὴ λέγεται.

sch lys 575 καὶ Κρατῖνος Διονυσαλεξάνδρῳ «οὐκ, ἀλλὰ «βόλιτα χλωρὰ κᾠσπώτην πατεῖν.» τοὺς τριβόλους: Τοὺς μοχθηρούς.

sch lys 576 ἔστι δὲ ἀκανθῶδες φυτόν. συνισταμένους: Συμπεπλεγμένους καὶ πιλοῦντας.

sch lys 577 ἀπὸ μεταφορᾶς τῶν ἐρίων· ὥσπερ γὰρ πολλάκις τὸ ἕτερον τῷ ἑτέρῳ κολλᾶται ἐρίῳ, καὶ διαχωρίζουσιν αὐτὰ ἀπ’ ἀλλήλων, οὕτως, φησὶν, ἐπὶ τῶν κεκολλημένων ταῖς ἀρχαῖς ὀφείλετε ἀποχωρίζειν, καὶ εὔνοιαν πρὸς ἀλλήλους ἔχειν ἅμα. συνισταμένους: Συνηγόρους. καὶ πιλοῦντας: Τοὺς θλίβοντας εἰς τὴν πολιτείαν ἑαυτούς. ἐπὶ ταῖς ἀρχαῖσι: Ἐπ’ ἐλπίδι τοῦ ἄρχειν.

sch lys 578 τουτέστιν ἐνδύνοντας ἑαυτοὺς καὶ συναθροιζομένους, καὶ θλίβοντας εἰς τὴν πολιτείαν. τῶν γὰρ ἐρίων οἱ μαλλοὶ ἔχουσι τὰς κορυφὰς πεπιλημένας, καὶ ἐπὰν τιλθῶσι, διαλύεται ὁ μαλλός. πρὸς ἑκάτερον οὖν καὶ τὰς κορυφὰς πεπιλημένας τοῦ ἐρίου ἐν τῷ πόκῳ, καὶ τὰς κεφαλὰς τῶν πονηρῶν καὶ συνισταμένων τοῖς πράγμασι (διαλῦσαι χρή). τὰς κεφαλάς: Ὡς τὰ ἄκρα τῶν ἐρίων. καὶ τούτους ἐγκαταμίξαι: Αἱ γὰρ γυναῖκες ἐργαζόμεναι ἀφ’ ἑκάστου ἐρίου λαμβάνουσιν ἕν τι καὶ μιγνύουσιν ἄλλοις.

sch lys 581

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—ἕκαστον γὰρ τῶν ἐρίων χωρίζεται καὶ ὕστερον πάντα μίγνυται. R. (ἐγκαταμίξαι: Ἐπιτίμους ποιῆσαι.) ἀντὶ τῆς πόλεως.

sch lys 582 R. κατάγματα: Τὰ τῶν ἐρίων κατασπάσματα οὕτω ἐκάλουν.

sch lys 586 τολύπην: Συναγωγήν. καὶ τολυπεύειν: Ὡς ἐπὶ τῶν ἐρίων.

sch lys 587 ἐπέμεινε τῇ τροπῇ. πλεῖν ἢ διπλοῦν: Τὸ ἐντελὲς πλέον.

sch lys 589 πλέον, φησὶν, ἢ διπλοῦν τὸν πόλεμον φέρομεν, γεννῶσαι τὰ παιδία. μὴ μνησικακήσῃς: Ἀντὶ τοῦ μὴ μνησθῇς τῶν κακῶν λέγουσα ὅτι τοὺς παῖδας ἔτι νεωτέρους ὄντας ἐκπέμπουσιν εἰς πόλεμον.

sch lys 592 καὶ θἠμέτερον: Ἀντὶ τοῦ τὸ καθ’ ἡμᾶς. περὶ τῶν δὲ κορῶν: Κορῶν περισπωμένως.

sch lys 593 οὐκ ἔστι γὰρ τριγενές. ὀττευομένη: Ἀντὶ τοῦ κληδονιζομένη, περὶ γάμου χρησμῳδουμένη.

sch lys 597 αἱ γὰρ χῆραι συνεχῶς μαντεύονται πότε γαμηθήσονται. ἀποθνήσκεις: Ὦ πρόβουλε.

sch lys 600 χωρίον ἐστί: Εἰς τὸ ὑποδέξασθαί σου τὸ σῶμα· οἷον ἔστι τόπος οὗ τεθήσει. μελιτοῦτταν: Ἡ μελιτοῦττα ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον, καὶ ὀβολὸς μισθὸς τῷ πορθμεῖ, καὶ στέφανος ὡς τὸν βίον διηγωνισμένοις.

sch lys 601 καὶ δημάξω: Γράφεται καὶ δὴ μάξω. δημάζω ἀντὶ τοῦ παίζω. παρ’ ὃ καὶ τὸ δημοῦσθαι. κάλλιον (δὲ οὕτως). ὅσον οὔπω μάξω μελιτοῦτταν. καὶ ταυτασί: Τὰς ταινίας, ἃς τοῖς νεκροῖς ἔπεμπον οἱ φίλοι.

sch lys 603 ἐν ἄλλῳ δὲ εὗρον, τὰς δραχμὰς, εἰς μισθὸν τῷ πορθμεῖ. τίνος δέει.

sch lys 605 R. σὺ δὲ κωλύεις ἀνάγεσθαι: Τὸν Χάρωνα δηλονότι ἀναπλεῖν.

sch lys 609 τοῖς προβούλοις: Τοῖς ἄλλοις δηλονότι τοῖς κʹ τοῖς ἐκ τῆς συναρχίας. οὐ γάρ ἐστιν εἷς ὁ πρόβουλος. ὡς ἔχω: Βεβρεγμένον.

sch lys 611 ὅτ’ οὐχὶ προὐθέμεσθά σε: Τοὺς νεκροὺς γὰρ οἱ ἀρχαῖοι προετίθεσαν πρὸ τῶν θυρῶν καὶ ἐκόπτοντο. ἀλλ’ ἐς τρίτην: Ἐπειδὴ τῇ τρίτῃ τὸ τῶν νεκρῶν ἄριστον ἐκφέρεται.

sch lys 613 τὰ τρίτ’ ἐπεσκευασμένα: Ἀντὶ τοῦ τὰ τρίτα σου ποιούμενα. ἀλλ’ ἐπαποδυώμεθ’: Ἀντὶ τοῦ ἐπιχειρήσωμεν.

sch lys 616 ὄζειν ταδὶ μειζόνων: Τὰ τῶν γυναικῶν πράγματα. τῆς Ἱππίου τυραννίδος: Τεσσάρων ὄντων τῶν Πεισιστρατιδῶν, εἰκότως τοῦ Ἱππίου μόνου ἐμνημόνευσεν.

sch lys 619 πρεσβύτατος γὰρ ἦν οὗτος τῶν ἄλλων καὶ τὴν τυραννίδα ὑπέθετο, καθάπερ Θουκυδίδης [6, 54] φησί. κατέσχε δὲ ἡ τυραννὶς ἐπὶ ἔτη γʹ, οἱ δὲ δʹ, Ἡρόδοτος δὲ ςʹ. Ἄλλως, οὗτος τύραννος ἦν, ὃς ἐποίησε τοὺς Ἀθηναίους κατωνάκας φορεῖν, ὅπως μὴ δυνηθῶσι προενεγκεῖν τὰς χεῖρας. τοῦτον δὲ κατέλυσαν οἱ Λακεδαιμόνιοι. ἐς Κλεισθένους: Ἐπεὶ οὗτος γυναικώδης ὁ Κλεισθένης καὶ ὡς γυναικῶν συναθροιζομένων παρ’ αὐτῷ.

sch lys 624 τὰ χρήμαθ’ ἡμῶν: Τὰ ἐν ἀκροπόλει. λύκῳ κεχηνότι: Ὥσπερ οὐδεὶς δύναται πιστεῦσαι λύκῳ χαίνοντι.

sch lys 629 ἡ παροιμία ἐπὶ τῶν μάτην χαινόντων. (ἢ ἐπὶ τῶν ἀλλότρια ἁρπαζόντων.) ὃν γὰρ τρόπον λύκοις οὐκ ἔστι πίστις, οὐδὲ τούτοις. ἀλλὰ ταῦθ’ ὕφηναν: Ἀλλ’, ὦ ἄνδρες, ταῦτα ἐποίησαν αἱ γυναῖκες ἵνα τυραννήσωσιν.

sch lys 632 ἐν μύρτου κλαδί: (Ἀντὶ τοῦ κλάδῳ, κατὰ μεταπλασμόν. Ἄλλως.) πρὸς τὸ κομμάτιον, ὅτι ἐκ τοῦ σκολιοῦ ἐστιν ὅτι ἐν μυρσίνῳ κλάδῳ τὸ ξίφος φορέσομεν, ὥσπερ Ἁρμόδιος καὶ Ἀριστογείτων. οὗτοι γὰρ ἀπὸ τῶν μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον. ἀγοράσω τ’ ἐν τοῖς ὅπλοις: (Ἀντὶ τοῦ ἐν τῇ ἀγορᾷ διατρίψω μετὰ Ἀριστογείτονος.

sch lys 633 ) —ἀντὶ τοῦ ἐγγύς. R. γίνεται: Λείπει βοηθός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 634 R. L. χλευάζει ὅτι καὶ αὐτοὶ γέροντες.

sch lys 635 R. οὐ γὰρ εἰσιόντας: Ἀπὸ τῶν πληγῶν τῶν παρ' ἡμῶν ἀλλοῖος γενήσῃ.

sch lys 636 R. L. ἠρρηφόρουν: Οἱ μὲν διὰ τοῦ α, ἀρρηφορία, ἐπειδὴ τὰ ἄρρητα ἐν κίσταις ἔφερον τῇ θεῷ αἱ παρθένοι.

sch lys 642 οἱ δὲ διὰ τοῦ ε ἐρσεφορία. τῇ γὰρ Ἔρσῃ πομπεύουσι, τῇ Κέκροπος θυγατρὶ, ὡς ἱστορεῖ Ἴστρος. εἶτ' ἀλετρὶς ἦ: Ἦ ἀντὶ τοῦ ἦν, ὑπῆρχον.

sch lys 643 γίνονται δέ τινες τῶν εὖ γεγονυιῶν ἀλετρίδες τῇ θεῷ παρθένοι, αἵτινες τὰ εἰς τὴν θυσίαν πόπανα ἀλοῦσι· καὶ ἔστιν ἔντιμον τοῦτο. ἦσαν δὲ καὶ ἱεροὶ μυλῶνες. ἦ: Ἔα καὶ κατὰ συναίρεσιν ἦ. οὖσά τ' ἀρχηγέτι: Τῇ δεσποίνῃ Ἀρτέμιδι, ἢ Δήμητρι.

sch lys 645 ἄρκτος ἦ Βραυρωνίοις: (Ἄρκτον μιμούμεναι τὸ μυστήριον ἐξετέλουν. αἱ ἀρκτευόμεναι δὲ τῇ θεῷ κροκωτὸν ἠμφιέννυντο, καὶ συνετέλουν τὴν θυσίαν τῇ Βραυρωνίᾳ Ἀρτέμιδι καὶ τῇ Μουνυχίᾳ, ἐπιλεγόμεναι παρθένοι, οὔτε πρεσβύτεραι δέκα ἐτῶν οὔτ' ἐλάττους πέντε. ἐπετέλουν δὲ τὴν θυσίαν αἱ κόραι ἐκμειλισσόμεναι τὴν θεὸν, ἐπειδὴ λιμῷ περιπεπτώκασιν οἱ Ἀθηναῖοι, ἄρκτον ἡμέραν ἀνῃρηκότες τῇ θεᾷ. οἱ δὲ τὰ περὶ τὴν Ἰφιγένειαν ἐν Βραυρῶνι φασὶν, οὐκ ἐν Αὐλίδι. Εὐφορίων Ἀρχίαλον Βραυρῶνα κενήριον Ἰφιγενείας. δοκεῖ δὲ Ἀγαμέμνων σφαγιάσαι τὴν Ἰφιγένειαν ἐν Βραυρῶνι, οὐκ ἐν Αὐλίδι. καὶ ἄρκτον ἀντ' αὐτῆς οὐκ ἔλαφον φονευθῆναι. ὅθεν μυστήριον ἄγουσιν αὐτῇ. Ἄλλως.) ἄρκτος τις δοθεῖσα εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος ἡμερώθη. ποτὲ οὖν μία τις παρθένος ἔπαιξε πρὸς αὐτῇ, καὶ ἐξύσθη ἡ ὄψις αὐτῆς ὑπὸ τῆς ἄρκτου. καὶ λυπηθεὶς ὁ ἀδελφὸς αὐτῆς ἀνεῖλε τὴν ἄρκτον. ἡ δὲ Ἄρτεμις ὀργισθεῖσα ἐκέλευσε παρθένον πᾶσαν μιμήσασθαι τὴν ἄρκτον πρὸ τοῦ γάμου, καὶ περιέπειν τὸ ἱερὸν κροκωτὸν ἱμάτιον φοροῦσαν. καὶ τοῦτο ἀρκτεύεσθαι ἐλέγετο. —οἱ δὲ καὶ λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. καὶ ὁ θεὸς εἶπεν λύσιν τῶν κακῶν ἔσεσθαι, ἐὰν τῆς τελευτησάσης ἄρκτου ποινὰς ἀρκτεύειν τὰς ἑαυτῶν παρθένους ἀναγκάσωσι. δηλωθέντος δὲ τοῦ χρησμοῦ τοῖς Ἀθηναίοις, ἐψηφίσαντο μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον, εἰ μὴ ἀρκτεύσειεν τῇ θεῷ. R. κἀκανηφόρουν ποτ' οὖσα: Ταῖς πομπαῖς ἐκανηφόρουν αἱ παρθένοι.

sch lys 646 ἐφόρουν δὲ καὶ λοπάδας τινὰς ὁλοχρύσους. ἔχους' ἰσχάδων ὁρμαθόν: Οὕτως ἐπόμπευον καὶ ὁρμαθοὺς ἔχουσαι τῶν ἰσχάδων.

sch lys 651 τοὐράνου γάρ μοι μέτεστιν: Τοῦ ἐράνου φησὶ μετέχω. ἄνδρας γὰρ εἰσφέρω εἰς τοῦτο, καθὸ τίκτουσιν ἄνδρας αἱ γυναῖκες. ἐγένετο δὲ ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα. τοὐράνου: Τοῦτό φησιν ὅτι τρέφομεν τοὺς πολεμοῦντας. R. L. εἰσφέρω: Ἀντὶ τοῦ γεννῶ. τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν: Ὡς αὐτῶν τὰ Μηδικὰ χρήματα δαπανησάντων.

sch lys 653 —παρέταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις εἰ ἐπὶ τοὺς βαρβάρους πολεμοῖεν. R. (εἶτ' ἀναλώσαντες: Τὸ εἶτα παρέλκει.

sch lys 654 ) ἆρα γρυκτόν ἐστιν: Ἆρα γρύξαι ὀφείλετε, ἢ παρρησίαν ἄγειν.

sch lys 656 ἀψήκτῳ δὲ ἀκαταμάκτῳ, ἢ σκληρῷ καὶ ἀμαλάκτῳ. κοθόρνῳ δὲ τῷ ὑποδήματι. κἀπιδώσειν μοι δοκεῖ: Ἀντὶ τοῦ προσθήκην σχήσειν.

sch lys 663 τὴν ἐξωμίδα: Εὐτελὲς ἱμάτιον. ἐντεθριῶσθαι: Ἐντετυλίχθαι, ἐσκευάσθαι.

sch lys 664 μετενήνεκται δὲ ἀπὸ τοῦ λεγομένου θρίου σκευάσματος, ὃ ἐν σύκου φύλλοις εἰλεῖται. λυκόποδες: Λυκόποδας ἐκάλουν, ὡς μὲν Ἀριστοτέλης, τοὺς τῶν τυράννων δορυφόρους.

sch lys 665 τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔβαλλον. λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι περικεκαλυμμένους, ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. τινὲς δὲ λυκόποδας, διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λύκον. (ὁ δὲ Ἀριστοφάνης ἔφη τοὺς νῦν λεγομένους Ἀλκμαιωνίδας, οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν τὸ Λειψύδριον.) Λειψύδριον: Χωρίον τῆς Ἀττικῆς περὶ τὴν Πάρνηθον, εἰς ὃ συνῆλθόν τινες ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

sch lys 667 ὅτ’ ἦμεν ἔτι: Λείπει νεώτεροι. κἀναπτερῶσαι: Ἐλαφρύνασθαι καὶ ἀνθῆσαι.

sch lys 673 λιπαρᾶς χειρουργίας: Ἀντὶ τοῦ τόλμης. λιπαρὲς ἔλεγον τὸ προσεχὲς, ἐκ τοῦ λίαν παρεῖναι. φησὶν οὖν ὅτι οὐκ ἀφέξονται προσεχοῦς ἔργου αἱ γυναῖκες. Ἀρτεμισία Λυγδάμιδος θυγάτηρ τὸ γένος Ἐφεσία, ἥτις συνεμάχησε Ξέρξῃ κατὰ τῆς Ἑλλάδος καὶ ἱκανῶς ἠνδραγάθησεν.

sch lys 676 διαγράφω τοὺς ἱππέας: Περιαιρῶ, ἀπὸ μεταφορᾶς τῶν δικαζόντων, οἳ ἐχάρασσον τοὺς κατεγνωσμένους. (ἐκ δὲ τούτου εὐτελεῖς ἡγήσομαι αὐτούς.) νικηθήσονται γὰρ ὑπὸ τῶν γυναικῶν. κἄποχον: Τουτέστι δυνάμενον ἐποχεῖσθαι.

sch lys 677 — παίζει δὲ πρὸς τὴν συνουσίαν. ἃς Μίκων ἔγραψε: Ποικίλη στοὰ Ἀθήνησιν οὕτω λεγομένη διὰ τὴν ἐνοῦσαν γραφήν.

sch lys 679 ἔνθα πεποίηκεν ὁ Μίκων τῶν Ἀμαζόνων τὴν μάχην. ἦν δὲ Φανόχου υἱὸς, Ἀθηναῖος. ἔστι δὲ καὶ ἕτερος Μίκων εἰς πενίαν κωμῳδούμενος. τὸν κύφωνα λέγει.

sch lys 680 R. ζωπυρήσεις: Ἀντὶ τοῦ ἀνεγείρῃς.

sch lys 683 λύσω τὴν ἐμαυτῆς ὗν: Ὗν τὴν φύσιν λέγει, τὴν ὀργήν. καὶ ποιήσω τήμερον: Ποιήσω σε δερόμενον ἐπικαλεῖσθαι εἰς βοήθειαν τοὺς δημότας.

sch lys 685 πεκτούμενον: Τιλλόμενον, ξεόμενον. ἀλλὰ χἠμεῖς, ὦ γυναῖκες: Μιμοῦνται τοὺς τῶν ἀνδρῶν λόγους.

sch lys 688 ὡς ἄν: Ὅπως ἄν. αὐτοδὰξ ὠργισμένων: Πάνυ ὠργισμένων. ἵνα μήποτε φάγῃ: Ἵνα μὴ εἰς ὥραν ἔλθῃ.

sch lys 690 παίζει δὲ ἀπὸ τῶν εὐτελῶν. ἵνα μὴ δικάσῃ μηδὲ πολεμήσῃ. εἰς γὰρ τὸν πόλεμον φέρουσι σκόροδα. οἱ δὲ δικασταὶ τρώγουσι κυάμους, ἵνα μὴ κοιμηθῶσιν. ὅθεν [Eq. 41] «κυαμοτρὼξ, ἀκρόχολος.» (ὑπερχολῶ γάρ: Διὰ μέσου τὸ ὑπερχολῶ γάρ.

sch lys 694 ) αἰετὸν τίκτοντα: Λείπει τὸ ὡς.

sch lys 695 παροιμία, ἧς μέμνηται καὶ ἐν Εἰρήνῃ [133]. τὰ γὰρ ᾠὰ τῶν ἀετῶν οἱ κάνθαροι κυλίοντες διαφθείρουσιν. —ἐπεὶ τοὺς κανθάρους οἱ ἀετοὶ ἀναλέγονται. R. L. Ἰσμηνία: Ὄνομα γυναικός.

sch lys 698 οὐδ’ ἢν ἑπτάκις σὺ ψηφίσῃ: Οἱ γὰρ γέροντες ἀεὶ ἐψηφίζοντο κελεύοντες τί πρακτέον καὶ τί μή. παιγνίαν: Ἑορτήν.

sch lys 701 λείπει ταῖς ἐμαῖς. R. τὴν ἑταίραν: Τὸ χ (ἐνταῦθα)· ὅτι τὴν γυναῖκα ἑταίραν εἶπεν ὡς ἑταῖρον τὸν συνήθη καὶ φίλον. ἐκ Βοιωτῶν ἔγχελυν: Παρὰ προσδοκίαν πέπαιχεν.

sch lys 702 ἐν γὰρ τῇ Κωπαΐδι λίμνῃ μέγισται ἐγχέλεις (γίνονται). διὰ τὰ σὰ ψηφίσματα: Τὰ ψηφίσματα κωλύοντα.

sch lys 706 ἄνασσα πράγους: Ἐκ Τηλέφου Εὐριπίδου. γυνὴ πρὸς Λυσιστράτην.

sch lys 707 R. ἀλλ’ αἰσχρὸν εἰπεῖν: Ἐξ Εὐριπίδου.

sch lys 715 ἣ βράχιστον τοῦ λόγου: Ἀντὶ τοῦ ἵνα συντόμως εἴπω. ἱκανή.

sch lys 719 R. διαλέγουσαν: Διορύττουσαν.

sch lys 720 κακεμφάτως. ᾗ τοῦ Πανός ἐστι ταὔλιον: Ὅπου.

sch lys 721 ἐν τῇ ἀκροπόλει ἱερόν ἐστι τοῦ Πανός. κατειλυσπωμένην: Εἰλυσπᾶσθαι κυρίως τὸ ἐπὶ γῆς ἕρπειν, ὥσπερ οἱ ὄφεις καὶ οἱ σκώληκες.

sch lys 722

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(ἀπὸ τοῦ εἱλεῖν καὶ σπᾶσθαι. τροχιλία δέ ἐστιν ὁ τροχὸς τοῦ ξύλου τοῦ φρέατος, δι’ οὗ ἱμῶσι. δεδήλωται δὲ περὶ τούτου καὶ ἐν Ὁλκάσι.) τὴν δ’ ἐπὶ στρουθοῦ μίαν: Παρ’ ὅσον τὸ ὄρνεον θερμὸν εἰς συνουσίαν.

sch lys 725 ἐς Ὀρσιλόχου χθές: Ὀρσίλοχος πορνοβοσκὸς καὶ μοιχὸς, καὶ ἐπὶ θηλύτητι κωμῳδεῖται. ἔριά μοι Μιλήσια: Ὡς τῆς Μιλήτου καλὰ ἐχούσης ἔρια.

sch lys 730 ὑπὸ τῶν σέων: (Τῶν) σητῶν. πρὸς τὴν κλίσιν δὲ τῶν σέων· ὅτι ἀπὸ τῆς σεὺς εὐθείας. ὅσον διαπετάσασα: Διαπετάσασα τὰ ἔρια.

sch lys 732 εἰς τὸ κακέμφατον δὲ αἰνίττεται. ἢν τούτου δέῃ: Τοῦ ἀπολέσθαι.

sch lys 734 (ἢ) κἂν δέῃ ἀπελθεῖν; καὶ χρῄζεις μὴ ἀπέλθῃς. τῆς ἀμόργιδος: Τῆς λινοκαλάμης.

sch lys 735 ἔστι δὲ ἡ ἄμοργις ὅμοιον ἀλεπίστῳ λίνῳ. περιλεπίζουσι δὲ αὐτὸ καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λεπτὸν, ὑπὲρ τὴν βύσσον, ἢ τὴν κάρπασον· ἅμα δὲ καὶ ἐπὶ τοῦ ἀνδρείου αἰδοίου παίζει, ὅτι καὶ βάμμα γίνεται ἐξ αὐτῆς ἐρυθρόν. (αὔθ’ ἡτέρα: Αὕτη ἄλλη τῆς ἄλλης κακίων.

sch lys 736 ) τὴν ἄλοπον: Ἀλέπιστον καὶ ἀκάθαρτον.

sch lys 737 πρὸς τὴν ὑπόνοιαν. (χώρει πάλιν δεῦρο: Ἐπὶ τὴν ἀκρόπολιν.

sch lys 738 ) ἐγὼ δ’ ἀποδείρασα: Ἀποπλύνασα.

sch lys 739 δηλοῖ δὲ καὶ τὸ κακέμφατον. ἕως ἂν εἰς ὅσιον: Ἀντὶ τοῦ εἰς βέβηλον καὶ μὴ ἱερὸν, ἀλλ’ ὅσιον εἰς τοκετόν.

sch lys 743 ἐπειδὴ ἐν τῇ ἀκροπόλει ἦσαν. παρθένος δὲ ἡ θεός. περικεφαλαίαν εἶχεν ὥστε δοκεῖν κύειν. ὡς τὴν μαῖαν: Ἀντὶ τοῦ ὡς πρός.

sch lys 748 ἄρρεν παιδίον: Ἁπτομένη τῆς γαστρὸς αὐτῆς τοῦτο φησί. εἰσβᾶσα ταύτην ὥσπερ: Ὅτι ἐν κοιλώμασι τίκτουσιν.

sch lys 757 οὐδ’ ἀμφιδρόμια: Δέον παιδίου, εἶπε κυνῆς. κυνῆν γὰρ εἶχε προσποιουμένη κύειν. ἀμφιδρόμια δὲ ἡ δεκάτη ἡμέρα τῶν τικτομένων παιδίων, ἐν ᾗ τὰ ὀνόματα αὐτοῖς τιθέασι περιδραμόντες κειμένοις. οὐδὲ κοιμᾶσθ’ ἐν πόλει: Ἐν τῇ ἀκροπόλει.

sch lys 758 τοῦτο δὲ ἑτέρα γυνή φησιν. ἐξ οὗ τὸν ὄφιν εἶδον: Τὸν ἱερὸν δράκοντα τῆς Ἀθηνᾶς, τὸν φύλακα τοῦ ναοῦ.

sch lys 762 τῶν τερατευμάτων: Τῶν προφάσεων καὶ πλασμάτων. ἡμᾶς δ’ οὐκ οἴει: Οὐ νομίζεις κἀκείνους ποθεῖν ἡμᾶς.

sch lys 770 χελιδόνες: Αἱ γυναῖκες δηλονότι. χρησμός. φαλήτων: Τῶν μορίων.

sch lys 772 τὰ δ’ ὑπέρτερα νέρτερα: Τὰ ἐπικρατέστερα εὐτελέστερα ποιήσει, τοὺς ἄνδρας δηλονότι. ἐπάνω κατακεισόμεθα: Ἐρωτᾷ ἐπάνω τοῦ αἰδοίου.

sch lys 773 κακεμφάτως δὲ ἐδέξατο. (διαστῶσι: Διχῶς ἀποστῶσι.

sch lys 774 ) καταπυγωνέστερον: Μαλακώτερον καὶ πορνικώτερον τῶν χελιδόνων, τουτέστι τῶν γυναικῶν.

sch lys 785 (ἦν νεανίσκος Μειλανίων: Μήποτε παρὰ τὴν ἱστορίαν εἴρηκεν. οὐ γὰρ Μειλανίων ἔφευγε μᾶλλον, ἀλλ’ ἡ Ἀταλάντη. ἐπίτηδες δὲ τοῦτο ὁ τῶν ἀνδρῶν χορὸς ἱστορεῖ.) ἐλαγοθήρα: Ἐκυνηγέτει, λαγοὺς ἐθήρα.

sch lys 790 πλεξάμενος ἄρκυς: Εἶδος δικτύου. λίνα κυνηγετικά. κατὰ κοινοῦ τὸ μισοῦμεν τὰς γυναῖκας.

sch lys 796 οἱ σώφρονες: Ἐσμὲν, βδελυττόμεθα. κρόμμυόν τ’ ἄρ’ οὐκ ἔδει: Οἷον κλαύσει καὶ χωρὶς κρομμύων.

sch lys 798

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ κατὰ τὸ εἰρημένον ἄνω, ἵνα μήποτε φάγῃ σκόροδα καὶ κυάμους μέλανας. ἢ ὅτι δακρύεις καὶ χωρὶς τοῦ κρόμμυον ἐσθίειν. ἢ οὐ πολεμήσεις. τὸ σκέλος ἢ τὸ αἰδοῖον.

sch lys 799 R. οἷον τιλθήσῃ.

sch lys 800 R. καὶ Μυρωνίδης γὰρ ἦν: Δύο Μυρωνίδαι ἦσαν, ὡς ἐν ταῖς Ἐκκλησιαζούσαις [303] δεδήλωται.

sch lys 801 ἐνθάδε τοίνυν μέμνηται τοῦ ἐν Οἰνοφύτοις νικήσαντος. μελάμπυγός τε: Τοὺς λευκοπύγους ὡς γυναικώδεις ἐκωμῴδουν.

sch lys 804 ὡς δὲ Φορμίων: Φορμίων, στρατηγὸς, σφόδρα εὐδόκιμος, Ἀσωπίου υἱός. ὡς τριχώδης δὲ καὶ αὐτὸς καὶ μελαίνας πυγὰς ἔχων ἐκωμῳδεῖτο. τῷ Μελανίωνι: Σοὶ τῷ γέροντι.

sch lys 808 Τίμων ἦν τις: Τίμων οὗτος ἦν ὁ λεγόμενος μισάνθρωπος, ὅν φησι Νεάνθης ἀπὸ ἀχράδος πεσόντα χωλὸν γενέσθαι, μὴ προσιέμενον δὲ ἰατροὺς ἀποθανεῖν σαπέντα. καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ τὸν τάφον ἄβατον γενέσθαι ὑπὸ θαλάσσης περιρραγέντα, ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Ζωστῆρα καὶ Σούνιον φερούσῃ. ἀντὶ τοῦ ἄβατος καὶ ἄστατος.

sch lys 809 R. —ἀΐδρυτος ἀβάτοισιν: Οἷον ἀκάνθαις τετριχωμένος, σκληρός. Ἄλλως. σκόλοψι καὶ παττάλοις ἠσφαλισμένος. τὸ πρόσωπον περιειργασμένος: Ἀντὶ τοῦ σκυθρωπός.

sch lys 811 ἀπορρώξ: Διὰ τὴν μισανθρωπίαν. πολλὰ καταρασάμενος: Ἐπιεικὴς ἦν καὶ ἔφευγε τοὺς πονηρούς.

sch lys 817 ὡς εἰ ἡμεῖς ὑμᾶς. κατ’ ἐρώτησιν.

sch lys 822 ἢ εἰρωνείᾳ φησὶν, ἢ ἀληθῶς ἐφοβήθη. λακτίσω.

sch lys 824 τὸ γυναικεῖον αἰδοῖον. ὅτι ἀπεψιλωμένον φησί.

sch lys 832 μαινόμενον τῷ ἔρωτι. τουτέστι τῆς αὐτῆς ὁδοῦ καὶ διανοίας.

sch lys 835 Χλόης Δήμητρος ἱερὸν ἐν ἀκροπόλει, ἐν ᾧ οἱ Ἀθηναῖοι θύουσι μηνὸς Θαργηλιῶνος, ὡς Φιλόχορός φησιν ἐν ϛʹ. κωμῳδεῖ Κινησίαν ὡς κατωφερῆ εἰς συνουσίαν.

sch lys 838 ἦν δὲ διθυραμβοποιός. πέπαιχεν παρὰ τὸ κινεῖν.

sch lys 840 παραλογίζεσθαι καὶ τὰ ταύτην παρακολουθοῦντα πλὴν ὧν συνωμοσάμεθα μὴ ποιεῖν, τουτέστι συνουσιάζειν. εἰς ἣν ὠμόσαμεν.

sch lys 844 σύν σοι ὀπτήσω τῷ ἔρωτι ἀπὸ μεταφορᾶς τῶν κρεῶν. λείπει τὸ ἐγγύς.

sch lys 847 ὁ ἐντὸς τῶν φυλασσουσῶν γυναικῶν. ἐν ἡμέρᾳ σκοποῦσα.

sch lys 852 παίζει πρὸς τὸ πέος ὡς ἀπὸ δήμου τινός. ἢ ἵνα διαβάλῃ αὐτὸν ξένον καὶ Θρᾷκα. διαπαίζει τὰς γυναῖκας ὡς ἐρώσας τοῦ κινεῖν.

sch lys 855 διὰ στόματος. ἀντὶ τοῦ φυλαττέσθω.

sch lys 861 ἐν ἐρωτήσει. τὸ αἰδοῖον δείκνυσιν.

sch lys 863 ἢ ἀργύριον ἢ μερίδα. ἀπὸ τοῦ τείχους κατελθοῦσα ὅπου ἐφύλασσον αἱ ἡμεροσκόποι.

sch lys 873 τὸ πλῆρες αὐτόσε οὐ καταβήσομαι ἀπὸ τῆς ἀκροπόλεως. οὐδενὸς χρῄζων.

sch lys 876 ὑπὸ τοῦ ἔρωτος δηλονότι. ἀντὶ τοῦ μὴ ἀπέλθῃς.

sch lys 878 πρὸς τὸν παῖδα λέγει. οἷον ἄτροφον ἀπὸ τῆς θηλῆς τοῦ μαστοῦ.

sch lys 881 μὴ θηλασθέν. ἀντὶ τοῦ διὰ τὸ παιδίον.

sch lys 886 ποθεινότερον, πραότερον. ἀλαζονικῶς θρύπτεται.

sch lys 887 ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ βρενθίου μύρου. τὸ ἐντελὲς δῆτά ἐστιν.

sch lys 889 διὰ τὸ ὡραῖον αὐτοῦ. τῇ μαμμίᾳ: Ἀντὶ τοῦ ἐμοί.

sch lys 893

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ πρόσαγε τὴν χεῖρά μοι: Ὡς αὐτοῦ ἁπτομένου αὐτῆς αἰσχρῶς. ὀλίγον μέλει σοι: Ἀντὶ τοῦ οὐδὲ ὀλίγον μέλει σοι.

sch lys 896 τῆς κρόκης φορουμένης: Διαφορουμένης, διασπωμένης. ἀνοργίαστά σοι: Ἀτέλεστά σοι.

sch lys 898 ἀντὶ τοῦ οὐκ ὠργίασας τῇ Ἀφροδίτῃ. πρὸς Λάκωνας.

sch lys 900 R. νῦν δ’ ἀπομώμοκα: Ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς τὰς γυναῖκας πεποίηκα.

sch lys 903 ἀπομώμοκα: Πρὸς σέ. L. καί τοι ς’ οὐκ ἐρῶ: Οὐ κρύπτω τὸν ἐμὸν πόθον.

sch lys 907 ἐναντίον τοῦ παιδίου: Οὐκ ἀποτόμως παραιτεῖται, ἀλλὰ διὰ προφάσεως πλείονος ἐρεθίζει. —ἐκοιμήθης. R. ὦ Μανῆ: Οἰκέτης ὁ Μανῆς.

sch lys 911 ὅπου τὸ Πανὸς καλόν: Ἐπεὶ ἐρωτικὸς ὁ Πάν. πλησίον δὲ τοῦ Πανείου ἡ Κλεψύδρα ἦν κρήνη. λουσαμένη τῇ Κλεψύδρᾳ: Ἐν τῇ ἀκροπόλει ἦν κρήνη ἡ Κλεψύδρα, πρότερον Ἐμπεδὼ λεγομένη.

sch lys 913 ὠνομάσθη δὲ Κλεψύδρα, διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν, ποτὲ δὲ ἐνδεῖν. ἔχει δὲ τὰς ῥύσεις ὑπὸ γῆν, φέρουσα εἰς τὸν Φλεγρεώδη λειμῶνα. —εἰς τὴν ἀκρόπολιν. R. μὰ τὸν Ἀπόλλω: Οὐκ ἔστιν ὅρκος γυναικῶν.

sch lys 920 κἀγὼ ’κδύομαι: Λείπει τὸ ἱμάτιον. αἰσχρὸν γὰρ ἐπὶ τόνου γε: Ἀντὶ τοῦ ἐπὶ ἐπιτόνου.

sch lys 923 λείπει γὰρ ἡ ἐπί. δηλοῖ δὲ ἐπὶ δέρματος. (καὶ) Ὅμηρος [Od. M, 423] «ἐπίτονος βέβλητο.» καὶ δὴ ’κδύομαι: Λείπει τὸ ἱμάτιον.

sch lys 928 Ἡρακλῆς ξενίζεται: Παροιμία ἐπὶ τῶν βραδυνόντων. οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλέα βραδύνουσιν. ἀδηφάγος γὰρ ὁ ἥρως. ἀνιστὰς ἀναπήδησον: Ἵνα προσκεφάλαιον αὐτῷ θῇ.

sch lys 930 ἅπαντα δῆτα: Κατ’ ἐρώτησιν. σισύραν οὐκ ἔχεις: Διφθέραν, ἱμάτιον πυκνόν.

sch lys 933 ἄκναπτον ἱμάτιον καὶ παχὺ ἡ σισύρα. ἄνθρωπος ἐπιτρίψει με: Ἀντὶ τοῦ ἡ γυνὴ ἡ ἄνθρωπος (εἶπε).

sch lys 937 ἀλλ’ ἐπῆρται τοῦτό γε: Τὸ αἰδοῖον δείκνυσι. παρ’ ὑπόνοιαν δὲ ἀπήντησε. εἰ μὴ διατριπτικόν γε: Παρὰ τὸ διατρίβειν καὶ ἀναβάλλεσθαι.

sch lys 943 οἷον διατριβῆς γέμον καὶ βραδυτῆτος· ἐπεὶ καὶ τριβόμενα ἔνια τῶν μύρων ἡδίω γίνεται. (ἅμα δὲ καὶ πρὸς τὴν διατριβὴν λέγει.) τάλαιν’ ἐγώ: Τοῦτο φησὶν ἵνα πάλιν ἀπέλθῃ.

sch lys 944 (οὐ τὸ Σύριον.) Ῥόδιον δὲ μύρον τὸ ἀπὸ τῆς Ῥόδου· ὃ καλοῦμεν ἡμεῖς ῥόδινον. τὸν ἀλάβαστρον: Τὴν μυροθήκην.

sch lys 947 ἀλλ’ ἕτερον ἔχω: Τὸ αἰδοῖόν φησι. μή μοι φέρε: Τοῦ μύρου.

sch lys 951 σπονδὰς ποιεῖσθαι ψηφιεῖ: Τοῦτο εἰρηκυῖα ἡ γυνὴ ἄπεισι. ἀπολώλεκέ με: Ὁ ἀνὴρ ἀπελθούσης τῆς γυναικὸς ὀδύρεται.

sch lys 953 κἀποδείρας’ οἴχεται: Εἰς τὸ αἰσχρόν. ψευσθείς: Ἀντὶ τοῦ ἀπατηθείς.

sch lys 956 πῶς ταύτην παιδοτροφήσω: Ὡς θυγατρὸς αὐτῷ ἑπομένης. κακεμφάτως δὲ καὶ ἐπὶ τοῦ αἰδοίου δύναται ἀκούεσθαι. ποῦ κυναλώπηξ: (Ὁ Φιλόστρατος.

sch lys 957 ) καὶ ἀλλαχοῦ [Eq. 1069] «Φιλόστρατος ἡ κυναλώπηξ.» ὡς πορνοβοσκοῦ ὄντος τοῦ Φιλοστράτου. βούλεται δὲ τίτθην μισθώσασθαι, ἵνα θρέψῃ τὸ παιδίον. ποῖος γὰρ ἢ νεφρὸς ἀντίσχοι: Πῶς δυνήσῃ σαυτὸν ἐπισχεῖν, οὕτως ἠρεθισμένος.

sch lys 963 ποία ψυχή: Παρὰ τὰ ἐξ Ἀνδρομέδας «ποῖαι λιβάδες, ποία σειρήν;» ποῖος ἂν ὄρρος: Ἀντὶ τοῦ πρωκτός. τοὺς ὄρθρους: Ἀντὶ τοῦ ἐν τοῖς ὄρθροις.

sch lys 973 θωμούς: Σωροὺς ξύλων. θωμοὶ δὲ λέγονται οἱ τῶν πυρῶν σωροί. τυφὼς δὲ ἡ ἐξ ἀναθυμιάσεως τῆς γῆς συστροφὴ, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα. μεγάλῳ τυφῷ: Μεγάλῳ καύσωνι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 980 πᾶ τᾶν Ἀσανᾶν: Ἀντὶ τοῦ ποῦ τῶν Ἀθηνῶν ἐστιν ἡ γερουσία, τουτέστιν ἡ ἐκκλησία, καὶ ἡ σύνοδος. διατεταμένος δὲ ἦλθεν. ἀπὸ κοινοῦ δὲ ποῦ εἰσὶ καὶ οἱ πρυτάνεις, οἷς θέλω τι νέον εἰπεῖν. Κονίσαλος: Δαίμων πριαπώδης ὁ Κονίσαλος· ἐκ τοῦ μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίγνυσθαι.

sch lys 983 ὦ κυρσάνιε: (Ἀντὶ τοῦ ὦ νεανία, ὦ ἔφηβε. ἢ) ἀντὶ τοῦ εὐτελέστατε. κυρσὸς γὰρ εὐτελὲς λάχανον. κᾄπειτα δόρυ δῆτα: Διὰ τὸ τὸ αἰδοῖον αὐτοῦ μέγα εἶναι, ἐξέτεινε τὰ ἱμάτια τῇ χειρί.

sch lys 985 ὁ δὲ εἶπε δόρυ ἔχεις. (οὐ τὸν Δία: Οὐ μὰ τὸν Δία.

sch lys 986 ) (παλεός γα νὴ τὸν Κάστορα: Ὥσπερ τὸ πήγανον ἔνιοι ἀφαιρέσει τοῦ π ἤγανον λέγουσιν, οὕτως ἐνταῦθα κατὰ τὸ ἐναντίον πλεονάζει τὸ π.

sch lys 988 ἠλεὸς, ἀλεὸς, παλεός. τουτέστι λῆρος καὶ μάταιος.) μηδ’ αὖ πλαδδείη: Μηδὲ πλησίον γένοιτό μοι τὸ στύειν.

sch lys 991 τί δ’ ἐστί σοι τοδί: Τὸ αἰδοῖον δείκνυσι. σκυτάλα Λακωνικά: Ξύλον ἐστὶν εἰς δύο τεμνόμενον. καὶ τὸ μὲν ἓν δίδοται τῷ στρατηγῷ ἐξερχομένῳ, τὸ δὲ ἄλλο κεῖται ἐν τῇ πόλει. εἴπερ γε χ’ αὕτη̋ στι: Καὶ ὁ Ἀθηναῖος δείκνυσιν αὐτῷ τὸ ἑαυτοῦ αἰδοῖον.

sch lys 995 ὀρσά: Ἀντὶ τοῦ ὀρθή. πᾶα, πᾶσα, οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν. Πελλάνας δὲ δεῖ: Ὄνομα γυναικὸς ἑταίρας.

sch lys 996 ἦν γὰρ παρ’ αὐτοῖς πόρνη Πελλήνη τοὔνομα. ἐπιθυμοῦσιν οὖν τῆς πόρνης, ἤγουν τῆς πόλεως Πελλήνης. ἀντεποιοῦντο γὰρ αὐτῆς οἱ Λάκωνες. ἀπὸ τοῦ: Ἀπὸ τίνος.

sch lys 998 ἀπὸ Πανός: Κατ’ ἐρώτησιν. οὐκ. ἀλλ’ ἀρχὰ μέν: Ὁ νοῦς· ἤρξατο τὸ κακὸν τοῦτο διδόναι ἡμῖν ἡ Λαμπιτώ. οἰῶ δὲ (κατ’ αὐτοὺς) ἀντὶ τοῦ οἴομαι. ἅπερ: Ὥσπερ.

sch lys 1000 ἀπὸ μιᾶς ὑσπλαγίδος: (Ἀφέσεως. βαλβῖδος.) ἀπὸ μιᾶς ἀφετηρίας, ἤγουν ἀπὸ ἑνὸς κανόνος καὶ καμπτῆρος. ἀπήλων: Ἀπήλασαν.

sch lys 1001 ὑσσάκων: Τῶν γυναικείων μορίων. ἂν γὰρ τὰν πόλιν: Τὸ τέλειον ἀνά.

sch lys 1003 ἅπερ: Ὥσπερ. ἅπερ λυχνοφορίοντες: Οἱ γὰρ λυχνοφοροῦντες κεκύφασι διὰ τὸν ἄνεμον. οὔτε τῶ μύρτω σίγειν: Οὐδὲ θίγειν τοῦ γυναικείου μορίου.

sch lys 1007 τουτὶ τὸ πρᾶγμα: Οἱ Ἀθηναῖοι πρὸς τὸν κήρυκα. ποτάομαι: Δραμοῦμαι.

sch lys 1013 πετήσομαι. γυναικὸς ἀμαχώτερον: Ἐν ἄλλῳ Κινησίας ἦν ὁ λέγων.

sch lys 1019 ἀλλ’ ὅταν βούλῃ σύ: Ἀπὸ κοινοῦ βεβαίαν φίλην ἔχειν με. καὶ ἔξωθεν ὑπακουστέον τὸ ἔχε. γυμνὸν ὄνθ’ οὕτως: Γυμνὸς γὰρ ἦν.

sch lys 1023 καὶ τότ’ ἀπέδυν ἐγώ: Ἀντὶ τοῦ ἀπεδύσαντο κατὰ τῶν γυναικῶν. (εἶτ’ οὐ καταγέλαστος εἶ: Εἶτα οὐ καταγελασθήσῃ.

sch lys 1024 ) τόδε τὸ θηρίον: Τὴν ἐμπίδα.

sch lys 1026 ἐξεῖλον: Ἀντὶ τοῦ ἐξέλοιμι. τοῦτ’ ἄρ’ ἦν: Ἡ ἐμπὶς δηλονότι.

sch lys 1027 δακτύλιος ούτοσί: Δίδωσιν αὐτῇ δακτύλιον, ἵνα ἐξενέγκῃ τὴν ἐμπίδα τοῦ ὀφθαλμοῦ. ἐκσκάλευσον: Ἐξένεγκε.

sch lys 1032 οὐκ ἐμπὶς ἥδ’ ἐστὶ Τρικορυσία: Ἐμπὶς ζῷον κώνωπι παραπλήσιον. ὡς ἐν Τρικορύθῳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἀλσώδης καὶ κάθυγρος. ἢ ἐπεὶ πονηροί εἰσιν οἱ Τρικορύσιοι. ἀπὸ μεταφορᾶς τῶν τὰ φρέατα ὀρυττόντων εἰς βάθος ὡς φρέαρ ἀνώρυττέν φησι.

sch lys 1033 R. κολακευτικαί.

sch lys 1037 R. κᾄστ’ ἐκεῖνο τοὔπος: Ἐν παροιμίᾳ τοῦτο ἔλεγον «κακὸν γυναῖκες, ἀλλ’ ὅμως, ὦ δημόται, οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 1038 » καὶ Ἡσίοδος [Op. 58] «ἑὸν κακὸν ἀμφαγαπῶντες.» οὐ παρασκευαζόμεσθα: Λέγει ὅτι ὦ ἄνδρες οὐ παρασκευαζόμεσθα εἰπεῖν κακῶς τινὰ, ἀλλὰ μᾶλλον καλῶς.

sch lys 1043 ὡς ἀπὸ τοῦ ποιητοῦ δέ ἐστιν. ἱκανὰ γὰρ τὰ κακά: Τὸν πόλεμον λέγουσιν.

sch lys 1047 ἱκανῶς γὰρ ἐκακοπράγουν ἤδη μετὰ τὰ ἐν Σικελίᾳ. καὶ τὰ παρακείμενα: Τὴν τῶν γυναικῶν καὶ ἀνδρῶν στάσιν λέγει τὰ παρακείμενα.

sch lys 1050 λεγέτω τίνος δέεται. R. ἔσω ἡμῖν ἐστιν.

sch lys 1053 R. κἄν ποτ' εἰρήνη φανῇ: Δηλονότι οὐδὲν αὐτοῖς προήσονται.

sch lys 1057 ἀντὶ τοῦ κερδάνῃ. R. ἀντὶ τοῦ ἀποδῷ παρ' ὑπόνοιαν. R. Καρυστίους: Κάρυστος πόλις Εὐβοίας.

sch lys 1058 διαβάλλονται δὲ ὡς μοιχοὶ οἱ Καρύστιοι. ἐν ἄλλῳ γενέσθαι ἀντὶ τοῦ ἔξεστι.

sch lys 1064 R. τὸ ἐλθεῖν.

sch lys 1066 R. τοῦτο εἰς γέλωτα εἶπεν.

sch lys 1071 R. παρ' ὑπόνοιαν, δέον ἀνεωχθήσεται.

sch lys 1072 R. ἔχοντες πώγωνας.

sch lys 1074 διὰ τὴν τοῦ αἰδοίου ἐξοχήν. (τοῦτο δέ φασιν, ἐπεὶ καθελκόμενα εἶχον τὰ ἱμάτια, ὥστε δόξαι ἀγγεῖά τινα ἔχειν αὐτούς.) τὸ δὲ χοιροκομεῖον ἔοικε πλεκτὸν ἀγγεῖον εἶναι, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους περιδήσαντες. νῦν δὲ λέγει τὸν πάτταλον, ἐν ᾧ δεσμεύουσι τοὺς χοίρους καὶ τρέφουσιν. ἐπεὶ οὖν ἐντεταμένοι ἦλθον, ᾔκασεν αὐτοὺς παττάλοις. νενευρωμένη δὲ συμφορά: Τὴν ἔντασιν τοῦ αἰδοίου λέγει.

sch lys 1078 νεῦρον γὰρ (τὸ αἰδοῖον). χεῖρον φαίνεται: Ἀντὶ τοῦ, χεῖρον τῆς τάσεως τοῦ Ἑρμοῦ φαίνεται.

sch lys 1079 τουτέστι χεῖρον τέταται τοῦ Ἑρμοῦ. ἐπειδὴ ὁ Ἑρμῆς πριαπῶδες ἔχει τὸ αἰδοῖον καὶ ἐντέταται μεγάλως. ὅπα, ὅπου.

sch lys 1080 σέλει, θέλει. ἐλσὼν, ἐλθών. ἀντὶ τοῦ, πάντα πράττων τις ἀγέτω ἡμῖν εἰρήνην. ὥσπερ παλαιστάς: Οἱ γὰρ ἀσκοῦντες παῖδες συστέλλουσι τὰ ἱμάτια, ὅπως μὴ προστρίβωνται (τὰ αἰδοῖα) καὶ μιανθῇ τὰ ἱμάτια.

sch lys 1083 τοὺς δὲ Ἀθηναίους λέγει τεταμένους. φαίνονται δὲ οἱ ἀσκοῦντες παῖδες, ὡς μὴ παρατρίβοιντο τὰ αἰδοῖα εἰς ὑπόμνησιν (τῆς) συνουσίας ἀφιστάναι τὰ ἱμάτια ἑαυτῶν. ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος: Ἀντὶ τοῦ μέγα.

sch lys 1085 διὰ τὴν ἐπιθυμίαν τῆς εἰρήνης εἶπε τοῦ νοσήματος. δείκνυσιν.

sch lys 1087 R. ὁμοία.

sch lys 1088 R. σπασμός: Τέτανος.

sch lys 1089 —οἱ γὰρ σπασμὸν ἔχοντες περὶ τὸν ὄρθρον αἴσθονται σφόδρα. R. Bar. συγκόπτοντες, τὰ ἱμάτια συστέλλοντες.

sch lys 1090 R. οὐ Κλεισθένη βινήσομεν: Οὗτος Σιβυρτίου παῖς ἐπὶ θηλύτητι κωμῳδούμενος.

sch lys 1093 εἰ σωφρονεῖτε: Τοῦτο φησίν· εἰ μὴ περιβαλεῖσθε, ἀλλὰ φανερὰ ἕξετε τὰ αἰδοῖα, ἀκρωτηριάσει τις ὑμᾶς τῶν Ἑρμοκοπιδῶν. ἐξ οὗ δῆλον ὅτι μετὰ τὸ εἰσελθεῖν ἀπεγυμνώθησαν φορτικῶς πάνυ. Ἑρμοκοπιδῶν: Παρόσον οἱ Ἑρμοκοπίδαι ἠκρωτηρίασαν τοὺς Ἑρμᾶς, ὅτε ἐπὶ Σικελίας ἔμελλον πλεῖν (πρὸ ἐτῶν τεσσάρων τῆς καθέσεως τούτου τοῦ δράματος.

sch lys 1094 τὴν δὲ αἰτίαν ταύτην οἱ μὲν τοῖς περὶ Ἀλκιβιάδην προσέγραφον, ὡς Θουκυδίδης· οἱ δὲ Κορινθίοις, ὡς Φιλόχορος. μόνον δὲ φησὶν οὐ περικοπῆναι τὸν Ἀνδοκίδου Ἑρμῆν.) ἄνδρες οἱ Ἑρμοκοπίδαι.

sch lys 1099 ἐκδεδαρμένους, τὰ αἰδοῖα ἀνατεταμένους. οἱ Βοιωτοὶ πρὸς τοὺς Λάκωνας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch lys 1105 παίζει, μὴ μόνον Λυσιστράτην. παρὰ τὸ λύειν τὸν στρατόν. κἂν λῆτε: κἂν βούλησθε. διαβάλλει τινά. τῷ σῷ πόθῳ, τῇ σῇ θέλξει.

sch lys 1110 ἴυγξ ὄρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῶν φίλτρων κακίας. μὴ συνόντας ἀλλήλοις μήτε πεῖραν ἑαυτῶν δεχομένους· ὀργῶντας, πρὸς εἰρήνην.

sch lys 1114 ὡς πρός τινα ἐξυπηρετουμένην ἣν καλεῖ Διαλλαγήν. καὶ ὅλως ἐκ τοῦ μέρους τούτου Λυσιστράτη ἢ διαλλαγαὶ κέκληται τὸ δρᾶμα. ὡς ὀχληρῶν ὄντων τῶν Ἀθηναίων ἐν μάχαις.

sch lys 1119 σκώπτει αὐτοὺς ὡς μαινομένους ἐπὶ τῷ ἔρωτι. τῆς σάθης, τοῦ αἰδοίου. ἄν σοι δῴη ἢ τὴν χεῖρα ἢ ἄλλο τι.

sch lys 1123 ὦ Ἀθηναῖοι. ὁ στίχος ἐκ σοφῆς Μελανίππης Εὐριπίδου.

sch lys 1127 οὐ πεπαίδευμαι κακῶς. τοὺς αὐτοὺς θεοὺς τιμῶντες οὐχ ὁμονοοῦμεν ἀλλήλοις.

sch lys 1131 τοὺς αὐτοὺς ἀγῶνας ἄγομεν, Ὀλύμπια καὶ Πύθια. Ἄλλως. ἐν Πύλαις ἀντὶ τοῦ ἐν Θερμοπύλαις. ἔπεμπον γὰρ εἰς τὴν Πυλαϊκὴν πανήγυριν τοὺς λεγομένους ἱερομνήμονας. ὅλος ὁ ἴαμβος λέλεκται ἐξ Ἐρεχθέως. εἰ δέον ἐστί μοι μακρολογεῖν.

sch lys 1133 ὡς τῶν Λακώνων χρωμένων συμμάχοις βαρβάροις. εἰς σύμβασιν αὐτοὺς καὶ φιλίαν προτρεπομένη ἄρχεται τοῦ αὐτοὺς ὑπομιμνήσκειν ὧν ἦσαν ἐξ ἀλλήλων εὖ πεπονθότες.

sch lys 1137 οἱ μὲν γὰρ Ἀθηναῖοι καταπονουμένους αὐτοὺς ὑπὸ Μεσσηνίων διέσωσαν, οἱ δὲ Λακεδαιμόνιοι καθεῖλον τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα βοηθοῦντες Ἀθηναίοις. ταῦτα καὶ οἱ συντεταχότες τὰς Ἀτθίδας ἱστοροῦσιν περὶ τῶν Λακεδαιμονίων· ὁ δὲ Φιλόχορός φησι καὶ τὴν ἡγεμονίαν τοὺς Ἀθηναίους λαβεῖν διὰ τὰς κατασχούσας τὴν Λακεδαίμονα συμφοράς.

sch lys 1138 ὁ στρατηγὸς Λακεδαιμονίων. σημαίνει ὅτι πόλεμος ἦν αὐτοῖς πρὸς Μεσσηνίους.

sch lys 1142 σείων μέγα, ὁ Ποσειδῶν. σεισμοὶ γὰρ συχνοὶ ἐγένοντο ὅτε ὁ πόλεμος συνειστήκει. Κίμων, μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ιβʹ ἔτει ὕστερον.

sch lys 1144 ταῦτα ἦν ἐπὶ Θεαγενίδου. καὶ γὰρ τοῦ Ταϋγέτου τι παρερράγη καὶ τὸ ᾠδεῖον καὶ ἕτερα καὶ οἰκίαι πλεῖσται, καὶ Μεσσήνιοι ἀποστάντες ἐπολέμουν καὶ οἱ εἵλωτες ἐπέστησαν, ἕως Κίμων ἐλθὼν διὰ τὴν ἱκετηρίαν ἔσωσεν αὐτούς. ὡς πρὸς γυναῖκα.

sch lys 1148 λέγει δὲ τὴν γῆν τῆς Ἀττικῆς λιπαρὰν εἶναι. ἀφήσειν τῆς μέμψεως οἴει.

sch lys 1152 καὶ γὰρ τῶν Θετταλῶν οἱ πλεῖστοι ἐβοήθουν Ἱππίᾳ. Ἀριστοτέλης φησὶ μετὰ τὸν Ἱππάρχου θάνατον χρησμὸν γενέσθαι τοῖς Λάκωσιν καταλύειν τὴν τυραννίδα, τῆς Πυθίας, ὡς οἱ Ἀλκμαιωνίδαι ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, συνεχῶς τοῦτο χρώσης αὐτοῖς μαντευομένοις, ἕως πρότερον μὲν Ἀγχιμόλιον ἔπεμψαν κατὰ θάλασσαν, ἀποκρουσθέντος δὲ αὐτοῦ ὀργισθέντες οἱ Λάκωνες Κλεομένη τὸν βασιλέα σὺν μείζονι ἐξέπεμψαν στόλῳ, καὶ νικήσας τοὺς Θετταλοὺς εἰσῆλθεν εἰς τὴν Ἀττικὴν καὶ τὸν Ἱππίαν συνέκλεισεν εἰς τὸ Πελαργικὸν τεῖχος, ἕως οἱ παῖδες τῶν τυράννων ἐξιόντες ἑάλωσαν.

sch lys 1157 ἀγαθωτέραν. ἡμεῖς θέλομεν, ἐάν τις ἡμῖν θελήσῃ ἀποδοῦναι τὸ ἔγκυκλον, τουτέστι τὴν Πύλον, διὰ τὴν τῶν τειχῶν περιβολήν.

sch lys 1164 ἀντὶ τοῦ ψηλαφῶμεν καὶ ἐπιθυμοῦμεν. ἀντὶ τοῦ οἰκήσομεν.

sch lys 1169 ταῦτα οἱ Λακεδαιμόνιοι ἐδόκουν οὐκ ἐπιτηδείως ἔχειν. ἔστι δὲ ὁ Ἐχινοῦς κόλπος. λιμήν ἐστιν ὄπισθεν τοῦ Ἐχινοῦντος. σκέλη τόπος οὕτω καλούμενος τῆς Μεγαρίδος.

sch lys 1170 σημαίνει δὲ καὶ τὸ κακέμφατον. οἱ δὲ τὰ Μεγαρικὰ τείχη. ὦ μαινόμενε.

sch lys 1173 ἀπαλλαγεὶς τοῦ πολέμου γυμνὸς βούλομαι γεωργεῖν, ἀντὶ τοῦ θέλω τὴν εἰρήνην. ἀντὶ τοῦ κόπρον ἄγειν πρῶτον, ὡς μὴ εὐπορούντων αὐτῶν ἀροσίμης γῆς.

sch lys 1176 δρᾶν ταῦτα, τὰ τῆς γεωργίας. κατ᾽ ἐρώτησιν.

sch lys 1181 τοῖς ἐμοῖς. τοὺς Καρυστίους ὡς μοιχοὺς κωμῳδοῦσιν. ἦσαν δὲ Ἀθηναίων σύμμαχοι. ἀντὶ τοῦ ὧν εἴχομεν ἐδεσμάτων ἐν τῇ κίστῃ.

sch lys 1189 ἀποκοπή ἐστι τοῦ ἄλλου χοροῦ, ὡς παρ’ Εὐπόλιδι ἐν Κόλαξι. πορφυρῶν περιβολαίων. χρυσοφοροῦσι γὰρ αἱ κανηφόροι.

sch lys 1198 εὖ ἐσφραγίσθαι ὅσα εὑρίσκει ἔνδον. ῥύπους: τὰς σφραγῖδας· ἐκ πηλοῦ γὰρ ὑπῆρχον.

sch lys 1202 παίζουσα λέγει μηδὲν εἶναι ἔνδον. περιβλεπόμενος δὲ, φησὶν, οὐδὲν εὑρήσει. εἰ δέ τινι.

sch lys 1206 ἀντὶ τοῦ πυροὺς ὑποκοριστικῶς. μέγας.

sch lys 1211 θυλάκους. πλέγμα δεκτικὸν ἄρτων. ὁ δοῦλος.

sch lys 1213 γέλωτος χάριν. ἐπικωμάζει λαμπάδα ἔχων.

sch lys 1216 δεῖ δὲ νοεῖν ὅτι πρὸς τὴν θυρωρὸν λέγει. τὸ πρᾶγμα, τὸ ὑμᾶς καῦσαι.

sch lys 1218–1220 ὑμῖν τοῖς θεαταῖς τελειώσομεν τὸ δρᾶμα. φορτικὸν μέν ἐστιν εἰσελθεῖν εἰς τὴν σκηνὴν μετὰ λαμπάδος καὶ καταφλέξαι τινά· εἰ δὲ βούλεσθε, ὦ θεαταὶ, καὶ τοῦτο ποιήσομεν προσχαριζόμενοι ὑμῖν. ἀντὶ τοῦ τὸν ἐγκέφαλον ἢ τὰς τρίχας καιομένας.

sch lys 1225 ἐξέρχεταί τις τῶν Ἀθηναίων ἀπὸ τοῦ συμποσίου. σκώπτει τοὺς Ἀθηναίους ὅτι νήφοντες μὲν κακῶς βουλεύονται, μεθύοντες δὲ καλῶς διαπράττονται.

sch lys 1237 Τελαμῶνος: (Ἀρχή τινος σκολίου «παῖ Τελαμῶνος αἰχμητά,» περὶ οὗ δεδήλωται ἤδη.) ὁ δὲ νοῦς ὅτι τὰ ἐναντία λέγομεν ἑαυτοῖς καὶ πράττομεν. ὅταν γάρ τις ᾄσῃ ἀπὸ τῶν σκολίων Πινδάρου, λέγομεν ὅτι δεῖ μᾶλλον ᾄδειν ἀπὸ Κλειταγόρας τῆς ποιητρίας· ἡ γὰρ Κλειταγόρα ποιήτρια ἦν Λακωνικὴ, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης. αὖθις ἔρχονται πάλιν: Τουτέστι συνήχθησαν πάλιν.

sch lys 1239 ἦν γὰρ θεράπων διασκορπίσας αὐτοὺς τῇ λαμπάδι. ὦ Πολυχαρίδα: Πιθανώτερόν ἐστι, Βοιωτῶν αὐτὸν εἶναι.

sch lys 1242 ἀλλὰ γὰρ ἐν τοῖς πρέσβεσιν οὐδαμοῦ παρέδωκεν, ὅτι καὶ ἕτεροι παρῆσαν. γυναῖκες μὲν γὰρ ἐληλύθασι καὶ Κορίνθιαι καὶ Βοιώτιαι ἐπὶ τῆς πρεσβείας. οὐ λέγει δὲ Λάκων, ἀλλὰ Λάκωνες. ἀπίθανον δέ ἐστι μὴ παρεῖναι τοὺς παραληψομένους τὴν Βοιωτίαν καὶ τὴν Κορινθίαν. ἡ μὲν γὰρ Λαμπιτὼ εἰς Λακεδαίμονα ᾤχετο. ἵν’ ἐγὼ διποδιάξω γε: Τοῖς δύο ποσὶ χορεύσω.

sch lys 1243 εἶδος δὲ ὀρχήσεως ἡ διποδία, ἧς μέμνηται καὶ Κρατῖνος ἐν Πλούτοις «ἄρξει γὰρ αὐτοῖς διποδία καλῶς.» —τοὺς αὐλοὺς, ἀπὸ τοῦ φυσᾶν. R. ὅρμαον: Ἄρχεται τῇ ἰδίᾳ διαλέκτῳ τοὺς αὐλοὺς φυσᾶν ὁ Λάκων.

sch lys 1247 ὁ δὲ νοῦς· ὅρμησον, ὦ μνημοσύνη, τῷ ἐφήβῳ τὴν σὴν μοῦσαν. κυρσανίους δὲ καλοῦσιν οἱ Λάκωνες τὰ μειράκια, καὶ τοὺς εὐτελεῖς ἀνθρώπους παρ’ αὐτοῖς. (λείπει δὲ ἡ εἰς πρόθεσις, εἰς τοὺς κυρσανίους.) ἀντὶ τοῦ μέλλοντας ὀρχεῖσθαι. R. μοῦσαν.

sch lys 1249 R. τοὺς Ἀθηναίους.

sch lys 1250 R. ἐπ’ Ἀρτεμισίῳ: Ἄκρα ἐστὶν Εὐβοίας τὸ Ἀρτεμίσιον, ἔνθα ἐπολέμησαν τῷ Ξέρξῃ οἱ Ἀθηναῖοι.

sch lys 1252 τὸ πλῆρες θεοείκελοι ἐμάχοντο, θεοῖς ὅμοιοι προέκρουον καὶ ἐμάχοντο. R. πρὸς τὰ πλοῖα.

sch lys 1253 R. Λεωνίδας στρατηγὸς Λακεδαιμονίων.

sch lys 1254 R. ᾇπερ τὼς κάπρως: Ὥσπερ τοὺς κάπρους· συνεβοήθουν γὰρ κατὰ Περσῶν τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι.

sch lys 1257 πολὺς δ’ ἀμφὶ τὰς γένυας: Πρὸς τὸ παρὰ τῷ Ἀρχιλόχῳ «πολλὸς δ’ ἀφρὸς ἦν περὶ στόμα.» καὶ Σοφοκλῆς [El. 1219]. Αἰσχύλος δὲ «ἀφρὸς βορᾶς βροτείας ἐρρύη κατὰ στόμα.» —ἀντὶ τοῦ ἤνθει. R. ἔπαιξεν.

sch lys 1259

ἐπὶ δειλίᾳ δὲ αὐτοὺς κωμῳδεῖ ὡς ἐναφιέντας. ἦσαν γὰρ οἱ Πέρσαι οὐκ ἐλάσσονες τῶν ψάμμων.

sch lys 1262 θηροκτόνε. παρθένε θεά.

sch lys 1266 τῶν πανούργων ῥητόρων. παραδίδωσι λοιπὸν μετὰ ταῦτα τοῖς μὲν Λάκωσι τὰς Λακαίνας, τοῖς δὲ Ἀθηναίοις τὰς ὁμοφύλους.

sch lys 1276 ἐπ’ εὐτυχίαις. ἐπὶ δὲ Δίδυμον: Ἀπὸ Διδύμου τῆς Μιλήτου τόπου Διδυμαῖος Ἀπόλλων καλεῖται.

sch lys 1281 ἢ ὅτι δύο εἰσὶ χοροὶ, ὁ τῶν Λακώνων καὶ ὁ τῶν Ἀθηναίων. μετὰ τῶν βακχῶν.

sch lys 1283 βλέπει. R. ἀντὶ τοῦ φλέγοντα διὰ τῶν κεραυνῶν.

sch lys 1285 R. ὑμνήσατε.

sch lys 1286 Ἥραν. ἢ τὴν Ἀριάδνην. R. δαίμονας: Ἄλλους.

sch lys 1287 καὶ τοὺς ἄλλους θεοὺς κάλεσον. τῆς εἰρήνης.

sch lys 1296 ἐπὶ νέα νέαν: ἐπὶ νεώτερα πράγματα, νέαν μοῦσαν. ἐκλιποῦσα μοῦσα.

sch lys 1299 κλείουσαι καὶ ὑμνοῦσαι. οὕτω χαλκιοίκου Ἀρτέμιδος ἱερὸν ἐν Λακεδαίμονι.

sch lys 1300 ἢ Ἀθηνᾶς. διχῶς. ἄνασσαν Ἀθήνην. χαλκίοικος δὲ ἡ Ἀθηνᾶ τιμᾶται ἐν Σπάρτῃ. ἀγαθούς.

sch lys 1302 παίζουσιν. ἄγε.

sch lys 1303 ἐπίφθεγμα παρακελευστικόν. ᾗτινι οἱ χοροὶ τῶν θεῶν μέλουσιν.

sch lys 1308 ἥ τε, ὅπου. ἢ ὡς εἴτε ὥσπερ. λείπει τὸ κτύπον.

sch lys 1311 ἀνακινοῦσαι. θυρσαδδωᾶν: Ὥσπερ αἱ τῶν βακχῶν.

sch lys 1313 ἀντὶ τοῦ θυρσαζουσῶν καὶ παιζουσῶν, παρὰ τὸ δονεῖν τοὺς θύρσους. παραμπυκίδδετε: Παραπλέκετε, ποικίλλετε.

sch lys 1316 ἀντὶ τοῦ σκέπασον τῇ ἄμπυκι. οἷον πήδα.

sch lys 1317 R. ὡς ἔλαφος.

sch lys 1318 R. χορωφελέταν: Ἀντὶ τοῦ, ποίει κρότον ὠφελοῦντα τὸν χορόν.

sch lys 1320 καὶ τὰν σιὰν δ’ αὐτάν: Καὶ τὴν θεὰν Ἀθηνᾶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org